Ἀκούσματα

Ἐν τινι Ἱερᾷ Μονῇ τοῦ Ἄθω σώζονται (καθὼς λέγεται) τρίχες τινὲς τοῦ [illegible], αἵτινες [illegible] εἰς χεῖρας τῆς μεγαλομάρτυρος Μαρίνης, ὅτε [illegible] τοῦτον.

Αἱ τρίχες αὗται ἀναφέρονται [illegible] ἀφορμῆς ἀσκητικῆς κατὰ σάρκα (δηλαδὴ ἀρσενοκοιτίας), καὶ τότε οἱ ἅγιοι ἀσκηταὶ [illegible] ὅτι γίνεται ἀμάρτημα εἰς τὸν Ἄθω, (ὅπου μίαν [illegible]).

Ὡσαύτως εἰς τὸν Ἄθω σώζεται καὶ τὸ ἀριστερὸν κέρας τοῦ [illegible], [illegible] ὅτι ἠγωνίσθη νὰ διαφύγῃ ἐκ τῶν χειρῶν τοῦ ἱδρυτοῦ ἁγίου Ἀθανασίου τοῦ ἐν Ἄθῳ. Πλὴν οὐδεὶς δύναται νὰ τὸ ἴδῃ διότι ἐτέθη εἰς [illegible] τῆς Μεγίστης Λαύρας, διὰ τοῦτο οἱ Λαυριῶται πατέρες εἶναι ἁγνοί, ἀγγελόψυχοι κτλ. διότι [illegible] τὸ κέρατος τοῦ [illegible], καὶ [illegible] δύναται οὗτος νὰ τοὺς φέρῃ εἰς πειρασμόν

# ΑΚΟΛΟΥΘΙΑΙ ΠΛΗΡΗΣ

τῶν Ἁγίων

# ΜΑΡΙΝΗΣ, ΜΑΡΙΑΣ ΤΗΣ ΜΑΓΔΑΛΙΝΗΣ ΚΑΙ ΜΑΡΚΕΛΛΗΣ ΤΗΣ ΧΙΟΠΟΛΙΤΙΔΟΣ

Ψαλλόμεναι τῇ 17 καὶ 22 Ἰουλίου

συνταχθεῖσαι ὑπὸ τοῦ ἐλαχίστου ΓΕΩΡΓΙΟΥ Α. ΒΟΥΤΕΡΗ ἱερέως καὶ προσκυνητοῦ.

Ἐρανισθεῖσαι ἐκ διαφόρων Ἀκολουθιῶν.



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Δ. Γ. ΕΥΣΤΡΑΤΙΟΥ
8. Ὁδὸς Πραξιτέλους 8.
1904

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ




## Ἰουλίου 16.

Τοῦ ἁγίου ἱερομάρτυρος Ἀθηνογένους ἐπισκόπου Πιδαχθόης καὶ 10 μαρτύρων αὐτοῦ· τῇ αὐτῇ ἡμέρᾳ τοῦ ἁγίου μάρτυρος Φαύστου, τοῦ ἁγίου μάρτυρος Ἀντιόχου, ἀδελφοῦ τοῦ ἁγίου Πλάτωνος, τῶν ἁγίων 15 μαρτύρων, τῶν ἐν Πεισιδίᾳ, ἑτέρου ἁγ. μάρτυρος Ἀθηνογένους καὶ ἁγ. γυναικῶν. Ἀπολ. Ἦχος γ' θείας πίστεως.

Θείας χάριτος πεπληρωμένος, Ἀθηνόγενες ὅλος ἐδείχθης, ἱερέων καὶ δικαίων συμμέτοχος, τοὺς μὲν ἐπλήρου σοφίας διδάγμασι, τοῖς δὲ ἐδίδου κανῶν ἀκριβέστατον, ὧ γηθόμενοι, αὐτὸν οἱ πιστοὶ δοξάσωμεν, πρεσβεύοντα ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Μεγαλεῖα πίστεως ἐν σῇ καρδίᾳ, περιθεὶς ἐφύλαξας, Ἱερομάρτυς Ἀθηνόγενες, μὴ δειλιάσας τὸν τύραννον, Χριστοῦ θεράπων, διὸ ἡμᾶς φύλαττε.

Μεγαλυνάριον.

Σοῦ ἡ θεοκίνητος θαυμαστὲ, ἡδύλαλος γλῶσσα, λύρα γέγονε Πνεύματος, τὰ τοῦ Θεανθρώπου ἠχοῦσα μεγαλεῖα, Ἀθηνόγενες Τρισμάκαρ ὅθεν τιμῶμεν σε

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΑΡΙΝΗΣ

### ψαλλομένης τῇ 17 Ἰουλίου.

Ἐν τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὸ Μακάριος ἀνὴρ, καὶ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στιχ. στ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου.

Ὢ τοῦ παραδόξου θαύματος! τὴν ἐπηρμένην ὀφρὺν, τοῦ τὴν γῆν καὶ τὴν θάλασσαν, ἐξαλείφειν φάσκοντας, πρὸς τὴν γῆν ἐταπείνωσεν, ἁπαλὴ Κόρη καὶ παναμώμητος, τὰς πανουργίας αὐτοῦ νικήσασα Ὢ τῆς δυνάμεως, τοῦ Σταυροῦ καὶ χάριτος! ἥτις ἡμῶν, πᾶσαν ὑπεστήριξε σαφῶς ἀσθένειαν.. (Δὶς)

Μάρτυς Μαρίνα πανένδοξε, τὰς οὐρανίους μονὰς ἐπαξίως οἰκήσασα, σὺν Παρθένων τάγμασι, καὶ Μαρτύρων στρατεύμασι, τοὺς ἐκτελοῦντας πίστει τὴν μνήμην σου, καὶ προσιόντας πιστῶς τῇ σκέπῃ σου, σῶζε πρεσβείαις σου, καὶ πταισμάτων ἄφεσιν παρὰ Θεοῦ, αἴτησαι καὶ λύτρωσιν καὶ μέγα ἔλεος. (Δὶς)

Μάρτυς Μαρίνα πανεύφημε, οὔτε βασάνων τὸ πῦρ, οὐ τρυφῆς ἡ ἀπόλαυσις, οὐ τοῦ κόσμου χάριτες, οὐ τερπνότης νεότητος, τῆς πρὸς Χριστὸν ἀγάπης ἐχώρησεν ἐφιεμένην τῆς ὡραιότητος, τῆς ὑπὲρ ἔννοιαν τοῦ σεπτοῦ νυμφίου σου, ἐπιτυχεῖν, ἧς περ καταξίωσαι, Θεομακάριστε. (Δὶς)

(Δόξα Ἦχος β'.)

Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐν ψαλμοῖς ἀλαλαγμοῦ, ἀνυμνήσωμεν Μαρίναν τὴν Μάρτυρα, ὅτι καθῆλε ἐπὶ γῆς τῶν εἰδώλων τὴν πλάνην, καὶ τὸν ἀντίπαλον ἐχθρὸν ἀνδρείως ἐν τοῖς ποσὶν αὐτῆς κατεπάτησε· διὸ καὶ τελειωθεῖσα, εἰς οὐρανοὺς ἀνίπταται, τὴν κάραν στεφηφοροῦσα καὶ ἀνακράζουσα. Σὲ νυμφίε μου ποθῶ, καὶ τὸ τοῦ πόθου φίλτρον ἔχασας ὑπὲρ σοῦ τὰς σάρκας μου τῷ πυρὶ παρέ-

δωκα· κατασκηνώσω οὖν εἰς τὰς αἰωνίους σου μονάς, ἔνθα ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία.

Καὶ νῦν, Θεοτοκίον. Ὅτε ἐκ τοῦ ξύλου σου.

Ὅλην, τὴν ζωήν μου ἐν κακοῖς καταδαπανήσας ὁ τάλας, νῦν κατελήφθην Ἁγνή, πάσης ὄντως ἔρημος, ἀγαθῆς πράξεως· προσεγγίζοντα βλέπων δὲ τὸν θάνατον οἴμοι; τρέμω τὸ κριτήριον τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ, οὗπερ ἐξιλοῦμαι Παρθένε καὶ πρὸ τῆς ἀνάγκης ἐκείνης, Δέσποινα, ἐπέστρεψον καὶ σῶσον με.

Εἴσοδος Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Σοφίας οὐ κατισχύσει ποτε κακία. Ὅς φυλάσσει τὴν ἐντολὴν τοῦ Θεοῦ, σώζει τὴν ἑαυτοῦ ψυχήν· ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ, καθ᾽ ὁδὸν ἀποθανεῖτε· ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδοθήσεται αὐτῷ. Παίδευε τὸν υἱόν σου, οὕτω γὰρ ἔσται σοι εὔελπις. Ἄκουε υἱὲ παιδείαν πατρός σου,ἵνα σοφὸςγείνῃ ἐπὶ γήρας. Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἡ δὲ βουλὴ τοῦ Κυρίου ἐπικρατήσει εἰς τὸν αἰῶνα, καρπὸς ψυχῆς ἐλεημοσύνη ἡ δὲ προσευχὴ ἄνευ ἐλεημοσύνης ἄκαρπος ἐστί· κρεῖσσον δὲ πτωχὸς δίκαιος, ἢ πλούσιος φιλάργυρος κακόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται· ἐὰν ἐλέγξῃς ἄνδρα φρόνιμον νοήσειν αἴσθησιν πρὸς διόρθωσιν ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε, μὴ ἔλεγχε κακοὺς ἵνα μὴ μισήσωσί σε. Ἀρχὴ σοφίας φόβος Κυρίου καὶ βουλὴ ἁγίων σύνεσις.

Παροιμιῶν τὸ ἀνάγνωσμα.

Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρησίαν ἄγει· ὁ Θεὸς τῇ Σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοῖς ἐν φρονήσει υἱὲ μὴ παραρυῆς, τήρησον δ᾽ ἐμὴν βουλὴν καὶ ἔννοιαν, ἵνα ζῇ σῇ ψυχῇ καὶ χάρις ἐπὶ τῷ σῷ τραχήλῳ· ἔσται δὲ ἴασις ταῖς σαρξί σου καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου, ὁ δὲ ποῦς σου οὐ μὴ προσκόψῃ, ἐὰν γὰρ πάθῃ ἄφοβος ἔσῃ. ἐὰν καθεύδῃς ἡδέως ὑπνώσεις ὁ γὰρ Κύριος



ἔσται πρὸ τῶν ποδῶν σου, καὶ ἐρείσει σὸν πόδα ἵνα μὴ ἀγρευθῇς μὴ ἀπόσχου οὐ ποιῶν ἐνδεεῖς ἡνίκα ἂν ἡ χείρ σου ἔχει βοηθεῖν· μὴ εἴπεις ἐπανελθὼν ἐπάναγκε καὶ αὔριον σοι δώσω, δυνατοῦ σοῦ ὄντος εὐποιεῖν· ἀκάθαρτος ἔναντι Κυρίου πᾶς παράνομος, ἐν δὲ δικαίοις εὐσυνεδρεύει. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπηνοῖς δὲ δίδωσι χάριν.

Παροιμιῶν τὸ Ἀνάγνωσμα

Υἱέ, μὴ ὀλιγόρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος· ὣν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγεῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Μακάριος ἄνθρωπος ὅς εὗρε σοφίαν, καὶ θνητὸς ὅς οἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐκπορεύεσθαι ἢ χρυσίον καὶ ἀργυρίου θησαυ.ούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν, εὔγνωστος ἐστὶ πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστί. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτοῖς ἐμπορεύεται δικαιοσύνη νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαὶ καὶ αἱ τρίβοι αὐτῆς μὲ τηρήσης, Σοφίας οὐ μήποτε ἰσχύσει κακία.

Εἰς τὴν Λιτήν, στιχηρὰ Ἰδιόμελα. Ἦχ. Α΄

Ὡς ἐν πέτρᾳ στερρᾷ, τῆς ὁμολογίας Χριστοῦ, προσερεισθεῖσα Μαρίνα πανεύφημε, τὸν παλαμναῖον ἐχθρὸν εἰς χαος ἐβ.θησας, καὶ στέφος τῆς νίκης ἐπάξιον ἀπείληφας. Ὁ αὐτός.

Μετὰ τῶν ἄνω ταγμάτων συνηριθμήθης ἔνδοξε. κόσμον λυποῦσα καὶ τὸν Χριστὸν ποθήσασα, Μαρίνα πάνσεμνε, αἰτοῦσα ἡμῖν τὸ μέγα ἔλεος Ἦχ. β΄

Ὡς ἀλάβαστρον μύρου τὸ αἷμα σου προσενήνοχας τῷ σῷ νυμφίῳ Χριστῷ, Μαρίνα Μάρτυς ἀθληφόρε ἀήττητε· ἀντάμειψιν δὲ εἴληφας στέφος ἄφθαρτον, παρ᾽ αὐτοῦ ἀξιάγαστε· ὅθεν καὶ τὸν ἀρχέκακον ἐχθρόν, ὡραίοις σου ποσὶν κατεπάτησας, τῇ ἐπικλύσει τοῦ σωτηρίου ὀνόματος τοῦ Σωτῆρος Χριστοῦ· διὸ καὶ οὐρανίων θαλάμων ἠξιώθης,

ὡς Παρθένος, καὶ μάρτυς Χριστοῦ πολύαθλε. Ἦχ. δ'.

Δοξάζομέν σου Χριστέ, τὴν πολλὴν εὐσπλαχνίαν καὶ τὴν ἀγαθότητα, τὴν εἰς ἡμᾶς γενομένην· ὅτι καὶ γυναῖκες κα τήργησαν τὴν πλάνην τῆς εἰδωλομανίας, δυνάμει τοῦ Σταυροῦ σου φιλάνθρωπε. Τύραννον οὐκ ἐπτοήθησαν· τὸν δόλιον κατεπάτησαν· ἴσχυσαν δὲ ὀπίσω σου ἐλθεῖν· εἰς ὀσμὴν μύρου σου ἔδραμον, πρεσβεύουσαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλαγ. α'.

Τῇ παρθενικῇ σου θελχθεὶς ὡραιότητι ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς ὡς ἀμώμητον νύμφην ἑαυτῷ σε ἡρμόσατο, ἀκηράτῳ συναφείᾳ· ἐν γὰρ τῷ θελήματί αὐτοῦ παρασχόμενος τῷ κάλλει σου δύναμιν, κατ' ἐχθρῶν τε καὶ παθῶν ἀήττητον ἔδειξεν ἐγκαρτερήσασαν δὲ αἰκίαις πικραῖς, καὶ βασάνοις δρυμυτάτοις, διπλῷ στέφει δισσῶς σε κατέστρεψε καὶ παρέστησεν ἐκ δεξιῶν αὐτοῦ ὡς βασίλισσαν πεποικοιλμένην. Αὐτὸν δυσώπησον Παρθενομάρτυς Μαρίνα πανεύφημε, τοῖς ὑμνηταῖς σου δοθῆναι σωτηρίαν καὶ ζωὴν καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε, Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια Ἦχ. β'. Ὅτε, ἐκ τοῦ ξύλου σε.

Δεῦτε, φιλομάρτυρες πιστῶς, τὴν ὑπὲρ τοῦ πάντων Δεσπότου στερρῶς ἀθλήσασαν. Μάρτυρα τιμήσωμεν. Μαρίναν νύμφην Χριστοῦ παρθενίας χιτῶνας γὰρ τὸ σῶμα κοσμοῦσα χρύσεον ὡς ὕφασμα, τούτῳ ἐπέθηκεν, αἷμα, τοῦ σεπτοῦ μαρτυρίου, καὶ διπλοῖς κοσμεῖται στεφάνοις, καὶ τῷ στεφανίτῃ νῦν παρίσταται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Μέγα τὸ κατόρθωμα τὸ σόν, μέγα καὶ πανάριστον ὄντως, σοῦ τὸ ἐκνίκημα· φύσις γὰρ εὐτόνητος καὶ εὐταπείνωτος, τὸν ἀόρατον δράκοντα, τὸ ὄρος τὸ μέγα, νοῦν τὸν πολυμήχανον, Μαρίνα σὺ ἀληθῶς, εἷλες, εὐτελὲς ὡς στρουθίον, καὶ καταπατοῦσα χορεύεις, νῦν μετὰ Ἀγγέλων ἀξιάγαστε.



Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Λόγου, τοῦ φανέντος ἐπὶ γῆς, νύμφη ἐκλεκτὴ ἀνεδείχθης Μαρίνα σὺ ἀληθῶς, κάλλει διαλάμπουσα, ἐνθέων πράξεων, καὶ μαραίνουσα χάριτι, φυτὰ ἀθείας· ὅθεν τὴν πανίερον μνήμην σου σέβομεν, πόθῳ καὶ Λειψάνων τὴν θήκην, νῦν περιπτυσσόμεθα χάριν, ἐξ αὐτῆς ἰάσεων λαμβάνοντες.

Δόξα, ἦχος πλαγ, β'.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ Παρθένος, καὶ ἀθληφόρος καὶ Μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσα πρὸς αὐτὸν ἐν ἀγαλλιάσει, τὴν λαμπάδα κατέχουσα. Εἰς ὀσμὴν μύρου σου ἔδραμεν, Χριστὲ ὁ Θεός, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ· μὴ χωρίσῃς με νυμφίε ἐπουράνιε. Αὐτῆς ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ, τὰ ἐλέη σου.

Καὶ νῦν Θεοτοκίον

Θεοτόκε, σὺ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῆς ἀθληφόρου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ νῦν Ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον. Ἦχ. α'.

Τοῦ πατρὸς ἐκ βρέφους ἀπεστράφης τὰ εἴδωλα, καὶ τοῦ Ὀλυβρίου τυράννου τὴν ὀφρὺν κατεπάτησας, Μαρίνα πανεύφημε σεμνὴ ρωσθεῖσα ἰσχύει δὲ Σταυροῦ, αἰσθητῶν τὴν τοῦ φανέντος σὴν κεφαλὴν συντρίβεις πολεμήτορος· δόξα τῷ σὲ δοξάσαντι· δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι, διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν Θεοτοκίου.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ Ἁγίᾳ κιβωτῷ ὡς ἔφη ὁ δίκαιος Δαυίδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί. δόξα τῷ παρελθόντι ἐκ σοῦ δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διά τοῦ τόκου σου.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α' Στιχολογίαν Κάθισμα.
Ἦχος α'. Τὸν Τάφον.

Νυμφίον ἀληθῶς, τὸν Χριστὸν κεκτημένη, νυμφίον σαρκικοῦ, ἐβδελύξω τὸν πόθον, καὶ τοῦτον προσενήνοχας τῷ Θεῷ διὰ πίστεως, ἐναθλήσαντα, σὺν σοὶ στερεῶς ὦ Μαρίνα, καὶ τὸν στέφανον, ἀπολαβόντα τῆς νίκης, μεθ' οὗ ἡμῶν μέμνησο.

Δόξα τὸ αὐτὸ, καὶ νῦν Θεοτοκίον.

Τὸ βῆμα σου φρικτόν, καὶ ἡ κρίσις δικαία, τὰ ἔργα μου δεινὰ, ἀλλ' αὐτὸς Ἐλεῆμον, προφθάσας με διάσωσον καὶ κολάσεως λύτρωσαι· ρῦσαι Δέσποτα. τῆς τῶν ἐρήμων μερίδος καὶ ἀξίωσον, ἐκ δεξιῶν σου μὲ στῆναι, Κριτὰ δικαιότατε.

Μετὰ τὴν β' Στοιχολογίαν Κάθισμα Ἦχος γ'.

Κλέος πίστεως καὶ εὐσεβείας, ὁσιότητος καὶ παρθενίας, προθυμία κοσμουμένη ἀθλήσεως, ἀνηγορεύθης Μαρινα πανεύφημε, νοῦς ὅσιος αὐτοπροαίρετος, οὗτος τιμὴ εἰς Θεὸν, πατρίδος λύτρωσις, Χριστῷ νυμφικῶς πρεσβεύουσα, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα τὸ αὐτὸ καὶ νῦν Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ λόγου, μόνη Πάναγνε, Παρθενομήτωρ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸ ὑπὲρ πάντας, ἐμὲ οὖν γενόμενον, ρερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.



Μετὰ τὸν Πολυέλεον. Κάθισμα Ἦχ. γ' Τὴν Ὡραιότητα.

Πόνους ἤνεγκας τῆς ἐγκρατείας, χάριν εἴληφας τῆς ἀπαθείας, καὶ ἰαμάτων Μαρίνα θεόπνευστε, τοῦ θεραπεύειν παντοῖα νοσήματα, καὶ ἀπελαύνειν δαιμόνων ἐνέργειαν. Ἀξιάγαστε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρίσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα τὸ αὐτό, καὶ νῦν Θεοτοκίον.

Τὰ ἐπουράνια, φόβῳ ἠγάλλοντο, καὶ τὰ ἐπίγεια, τρόμῳ ηὐφραίνοντο ὅτε ἡ ἄχραντος φωνὴ ἐπῆλθε σοι Θεοτόκε, μία γὰρ πανήγυρις, ἀμφοτέροις ἐπέλαμψεν, ὅτε τὸν πρωτόπλαστον, ὁ Δεσπότης ἐρύσατο· δυὸ σὺν τῷ Ἀγγέλῳ βοῶμεν. Χαῖρε ἡ Κεχαριτωμένη

Οἱ Ἀναβαθμοὶ τοῦ τετάρτου Ἦχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη. ἀλλ' αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον Σωτήρ μου. (Δίς)

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρὶ ἔσεσθαι ἀπεξηραμμένοι. (Δίς..Δόξα).

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται καὶ καθάρσει, ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως. (Καὶ νῦν)

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ρεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

(Προκείμενον. Ἦχος δ')

Θαυμαστὸς ὁ Θεὸς, ἐν τοῖς Ἁγίοις αὐτοῦ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἐν τοῖς ἀγγείοις αὐτῶν, μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος

δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν. Ἰδοὺ ὁ νυμφίος ἔρχεται· ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθέναι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι, Μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν, πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθέναι λέγουσαι. Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Ὁ Ν'. Δόξα ταῖς τῆς Ἀθληφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου καὶ τὸ Πεντηκοστάριον.

Μετὰ τῶν ἄνω ταγμάτων συνηριθμήθης ἔνδοξε, κόσμον λιποῦσα, καὶ τὸν Χριστὸν ποθήσασα, Μαρίνα πάνσεμνε, αἰτοῦσα ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ Κύριε ἐλέησον ιβ'. Καὶ τὸ Ἐλέει καὶ οἰκτιρμοῖς. Ὁ Κανὼν τῆς Θεοτόκου Ἦχος πλ. δ'. καὶ τῆς Ἁγίας οἱ δύο εἰς τὸν αὐτὸν καὶ δ'. Ὠδὴ α'.

Ἄχραντε Θεοτόκε, δέξαι μου τὴν δέησιν· προσπίπτω σοι ὁ ἀχρεῖος σου δοῦλος καὶ ὑμνεῖν σε ἀξίως ἐνίσχυσον.

Δέξαι Θεοκήτωρ, δέησιν οἰκτρὰν τὴν τοῦ οἰκέτου σου δυσωποῦντος σε σώζειν πειρασμῶν καὶ κινδύνων καὶ θλίψεων.

Ὦ πανύμνητε Κόρη, μῆτερ τοῦ Σωτῆρος καὶ Θεοῦ ἡμῶν ἀπὸ πάσης ἀνάγκης λυτρωθῆναι ἡμᾶς καθικέτευε.

Τείχισόν μου τὰς φρένας, φώτισον καρδίας τὰ νοήματα τοῦ ὑμνεῖν σε, Χριστέ μου, τῆς Πανάγνου μητρὸς δεήσεσιν.

Καὶ τῆς Ἁγίας, Ὑγρὰν διοδεύσας ἦχος πλ. δ' ᾠδὴ Α'.

Ἁγία τοῦ Θεοῦ.

Χορεύουσα Μάρτυς περὶ Θεόν, καὶ τῶν λαμπηδόνων,



πληρουμένη τῶν παρ' αὐτοῦ, αἴγλην μοι παράσχου φωτοφόρον, ταῖς σαῖς πρεσβείαις καλλιπάρθενε.

Ῥεόντων τὸ ἄστατον καὶ φθαρτόν, σοφῇ διανοίας κεκριμένη ἄρτος Χριστοῦ, παρεῖδες ἐμφρόνως καὶ δικαίως, κατηξιώθης τῆς ἄνω λαμπρότητος.

Ἱκέτης προσέρχομαι σοι σεμνή, ταῖς σαῖς ἱκεσίαις, τῶν τοῦ βίου με δυσχερῶν, διάσωσον Μάρτυς ἀθληφόρε, καὶ τῶν παθῶν μου κατεύνασον τάραχον.

Σοφίᾳ καὶ χάριτι λαμπρυνθείς, ὁ νοῦς σου Μαρίνα, τῶν τυράννων τὰς ἀπειλάς, οὐκ ἔπτηξε Μάρτυς τοῦ Σωτῆρος, θείᾳ δυνάμει κρατυνόμενος.

Θεοτοκίον

Τὴν τρίβον ὑπέδειξας τῆς ζωῆς, ζωὴν οὐσιώδη, συλλαβοῦσα καὶ σαρκικῶς κυήσασα ταύτην Θεομῆτορ, καὶ τοῦ θανάτου τὰ δεσμὰ διέρρηξας.

Κανὼν δεύτερος εἰς ἦχον δ' θαλάσσης τὸ ἐρυθραῖον

Μαρτύρων, περιφανῶς λαμπρότησι, περιαστράπτουσα περὶ Θεὸν χορεύεις, ἱερῶς, θεουμένη Πανεύφημε, καὶ φωτισμὸν πρεσβείαις σου, παρεχομένη τοῖς ὑμνοῦσί σε.

Ἀθλήσει, τὴν ψυχὴν νεώσασα θεόφρον ἄρουραν, τοῦ μαρτυρίου στάχυν γεωργεῖς, γεωργῷ συντηρούμενον, τῷ τὴν ἰσχύν σοι πνεύσαντι, Παρθενομάρτυς ἀξιάγαστε.

Πορφύραν, σῶν ἐξ αἱμάτων βάψασα, καὶ στολισθεῖσα φαιδρῶς, περιφανῶς τὰ ἄνω κατοικεῖς, ὡς παρθένος βασίλεια καὶ θεϊκαῖς λαμπρότησι Μάρτυς Μαρίνα κατηγλάϊσαι

Δόξα πατρί

Ῥυσθεῖσα, τοῦ παντουργοῦ πανεύφημε, δυνάμει πνεύματος τὸν ἰσχυρὸν ἀνδρείως συμπλοκαῖς, ἐταπείνωσας τύραννον, μεγαλαυχίᾳ χρώμενον, καὶ σοῖς ποσὶ Μάρτυς ὑπέταξας.

Καὶ νῦν Θεοτοκίον

Δοχεῖον, χωρητικὸν γεγένησαι, τῆς θείας χάριτος, Θεογεννῆτορ ἄχραντε· διὸ σὲ Μαρίνα ποθήσασα, παρθενικῶς ὀπίσω σου, τῷ σῷ Υἱῷ προσαπενήνεκται.

Καταιβασία

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσωμαι φαιδρῶς πανηγυρίζων καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

Ὠδὴ γ'. Τῆς Θεοτόκου. Σὺ τὸ στερέωμα

Ἡ τὸν ὑπεράγαθον καὶ πανοικτίρμονα Κύριον, ἐν τῇ γαστρὶ τῇ σῇ δεξαμένῃ, Θεοτόκε, βοήθει μοι.

Ὑπεραγία Θεοτόκε

Θείαις παρακλήσεσι, τῆς κυησάσης σε, Κύριε παμβασιλεῦ, οἴκτειρον τὸν κόσμον, ὡς οἰκτίρμων καὶ εὔσπλαγχνος.

Ἔχων σε βοήθειαν, ταῖς τῶν ἐχθρῶν παγίσιν, ἁγνή, μὴ ἐμπαγῶ ἔχων σε προστάτην τῆς ζωῆς μὴ ἐκπέσοι με.

Ὅλον κατακείμενον, ταῖς ἡδοναῖς, ἁγνὴ Δέσποινα, καὶ μολυσμοῖς ἐξ ἀπροσεξίας, ἐξαρπάσασα σῶσόν με.

Ὠδὴ γ'. Τῆς Ἁγίας. Οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς

Οὐ πῦρ, οὐδὲ μάστιγες, οὐδὲ ξίφους ἀκμή, οὐ τυράννων ὠμότητες, οὐδὲ θάνατος, οὐ θηρῶν ἀγριότης, τῆς θείας ἐχώρησεν ἀγάπης, σὲ Πανόλβιε.

Ὑπῆρξας ἄσειστος καὶ ἀσάλευτος, ἐν καιρῷ περιστάσεως, πύργος πανένδοξε, εὐσεβείας κρηπῖδα, θεμένη τῆς πίστεως ἐν πέτρᾳ παμμακάριστε.

Παρθένος ἐν μάρτυσιν ἐχρημάτισας, ἐν Παρθένοις ἀήττητος, Μάρτυς γεγένησαι, τῷ Χριστῷ νυμφευθεῖσα, διπλοῦν σοι παρέχονται τὸν στέφανον, πανόλβιε.

Ἁγίων αἱμάτων σου Καλλιπάρθενε, οἱ κρουνοὶ προχεόμενοι, πᾶσαν κατέσβεσαν, τῶν εἰδώλων τὴν πλάνην, καὶ δῆμον προσήγαγον μαρτύρων τῷ Νυμφίῳ σου.

Θεοτοκίον

Ρωσθέντες τῇ χάριτι, Θεοτόκον σε ὁμοφρόνως δοξάζομεν· σάρκα γενόμενον, τὸν εἶναι τοῖς πᾶσι, διδοῦντα γὰρ τέτοκας, καὶ κόσμον ἀνεκαίνισας.

Ἕτερος τῆς Ἁγίας ἦχος δ' Εὐφραίνεται ἐπὶ σοί. Ἁγία τοῦ Θεοῦ

Τὸ πάθος τοῦ ἀπαθοῦς, τοῦ νεκρωθέντος δι' ἡμᾶς νέκρωσιν, Μάρτυς σεμνή, στέργουσα τὸν μαρτυρικὸν θνήσκεις θάνατον. Ἁγία τοῦ Θεοῦ



Μεγίστων ἐπιτυχεῖν ἀφιεμένη δωρεῶν, Πάνσεμνε, πόνους σαρκὸς ἔφερες, ὡς ἐν ἀλλοτρίῳ τῷ σώματι

Ἁγία τοῦ Θεοῦ

Αἱμάτων σου σταλαγμοῖς τῆς ἀθείας τὴν πυρὰν ἔσβεσας, καὶ τῶν πιστῶν ἤρδευσας, ὦ Μαρίνα Μάρτυς τὸ φρόνημα. Δόξα πατρὶ

Ὡς Μάρτυς μαρτυρικήν, ἐνδεικνυμένη καρτερῶς ἔνστασιν, τὸν πτερνιστὴν πτέρναις σου, ταῖς ὡραιοτάταις συνέτριψας. Καὶ νῦν Θεοτοκίον

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον οἱ πιστοὶ σέβομεν· σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γεγονότα Πανάμωμε.

Καταιβασία

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

Αἴτησις ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν. Καθ. ἦχ. δ' Κατεπλάγη Ἰωσ.

Μαρίνα Μάρτυς τοῦ Χριστοῦ, ἀνευφημοῦμέν σε πιστοί, ὅτι τὸν τύραννον ἐχθρὸν ἐν τῇ δυνάμει τοῦ Σταυροῦ, ἐν τοῖς ποσὶ κατεπάτησας γενναιοφρόνως· καὶ γέγονας ἡμῖν, ἀνδρεία πίστεως, πᾶσαν τοῦ ἐχθροῦ πατοῦσαν δύναμιν· καὶ οὐρανόθεν ἔλαβες τὸν στέφανον, τῇ κορυφῇ σου ἀοίδιμε. Χριστὸν δυσώπει, σωθῆναι πάντας τοὺς τελοῦντας τὴν μνήμην σου.

Δόξα τὸ αὐτὸ καὶ νῦν Θεοτοκίον

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπιπόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδος Ἀαρὼν τὴν βλαστήσασαν· καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε. Παρθένος τίκτει καὶ μετὰ τόκον πάλιν μένεις Παρθένος.

Ὠδὴ δ' τῆς Θεοτόκου ἦχος πλ. δ' Εἰσακήκοα Κύριε

Τῇ χειρί σου κατάβαλε, δαίμονας ἐξ ὕψους τοὺς πολε

μοῦντας με, καὶ εὐόδωσον πρὸς τρίβους ζωῆς, Θεὸς πρεσβείαις τῆς τεκούσης σε. Ὑπεραγία

Ὅταν μέλλει χωρίζεσθαι ἡ ἐλεεινὴ ψυχή μου τοῦ σώματος τοῦ ἀθλίου τούτου, Δέσποινα, σὺ παράστηθι μοι καὶ βοήθησον.

Κραταιᾷ ἀντιλήψει σου, πρόστηθι Πανάχραντε, τοῦ οἰκέτου σου, καὶ δαιμόνων μηχανήματα ἀπ' ἐμοῦ Παρθένε ἐξαφάνησον.

Ὡς ὑπάρχουσα ἄβυσσος, τῆς φιλανθρωπίας καὶ ἀγαθότητος, τὰς ἀβύσσους τῶν πταισμάτων μου, ὦ Παρθενομήτωρ, ἀποξήρανον.

. Τῆς Ἁγίας ᾠδὴ δ' Σύ μου ἰσχὺς Κύριε

Θεοπρεπής, γέγονεν ὄντως ὁ βίος σου τοῖς Ἀγγέλοις ὤφθη ποθεινότατος, τῶν δὲ δαιμόνων τῇ στρατιᾷ καὶ τοῖς ὑπηρέταις ἐκείνων τῆς ἀγριότητος, ἀπρόσιτος ἐδείχθη τῷ Χριστῷ γὰρ ἐβόας. Τῇ δυνάμει δόξα φιλάνθρωπε.

Ἐπὶ τῆς γῆς ἠγωνισμένη πανόλβιε καὶ προσκαίρους πόνους ὑπομείνασα ἐν οὐρανοῖς, νῦν τὰς ἀμοιβάς, παρὰ τοῦ Δεσπότου, κομίζει Μάρτυς ἀοίδιμε, ἀπείρους εἰς αἰῶνας σὺν Ἀγγέλοις βοῶσαι. Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Νῦν ἐπὶ σοί, χαίρει Παρθένων τὸ καύχημα, νῦν Μαρτύρων, ὅμιλος εὐφραίνεται. νῦν καὶ τὸ πλῆθος τῶν εὐσεβῶν ἐπισυναχθέντες, χορεύουσιν ἀγαλλόμενοι, βοῶντες τῷ Δεσπότῃ ἐν φωναῖς ἀσιγήτοις. Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Θεοτοκίον

Μόνη ἁγνὴ καὶ μετὰ τόκον διέμεινες· σὺ γὰρ λόγον, μόνη ἐνυπόστατον, τὸν τῷ Πατρὶ σύνθρονον Υἱὸν ἐκ σοῦ σαρκωθέντα· γεγέννηκας Θεονύμφευτε καὶ φέρεις ἐν ἀγκάλαις τὸν ἀχώρητον πᾶσι, καὶ τὸ κράτος τὸν πάντων κατέχοντα.

Ἕτερος Ἐπαρθέντα σε ἰδοῦσα εἰς ἦχ. δ'

Μαρτυρίου διαλάμπουσα, λαμπηδόσι καὶ ἀφθαρσίας στέφανον ἀναδησαμένη χαίρουσα παρίστασοι, Χριστῷ τῷ νυμφίῳ σου, ὦ Μαρίνα Μάρτυς πανεύφημε.

Τὸν πτερνίσαντα ἀπάτῃ τὴν πρώτην Εὔαν, μαρτυρικαῖς ἐνστάσεσι, πανεύφημε, τρέψασα καθεῖλες, δείξασα



ἀνίσχυρον, καὶ χαίρουσα ἔκραζες· δόξα τῇ δυνάμει σου Κύριε.

Σὲ τὴν ἄσπιλον ἀμνάδα καθάπερ λύκοι, οἱ δυσμενεῖς σπαράττοντες, Μάρτυς ταῖς αἰκείαις ἄμωμον ὁλόκληρον, Θεοῦ ἀπετέλεσαν, θεῖον ἱερεῖον καὶ σφάγιον.

Δόξα πατρὶ

Τοῦ ποιμένος θείοις ἴχνεσιν ἑπομένη, τὸ δι' αὐτὸν ὑπέμεινας, ἑκούσιον πάθος, Μάρτυς, καὶ ἐσκήνωσας, εἰς μάνδραν οὐράνιον, ἔνθα τῶν Μαρτύρων τὰ τάγματα.

Καὶ νῦν Θεοτοκίον

Ἡ Πανάμωμος καὶ μόνη ἁγιωτέρα, τῶν Χερουβὶμ φανεῖσα, τὰς ψυχὰς ἡμῶν σῶσον πάσης περιστάσεως, τῶν πίστει ὑμνούντων σε, ἄχραντε Παρθένε Θεόνυμφε.

Καταβασία

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε' ἦχ. πλ. δ' Τῆς Θεοτόκου Ὀρθρίζαντες

Ὁ τάλας καὶ παμβέβηλος κράζουσα, Λόγε Θεοῦ, διὰ τῆς τεκούσης σε σῶσόν με, σῶσον ὡς εὔσπλαγχνος.

Ὑπεραγία Θεοτόκε

Ἀνάξιον καὶ ὅλον κατάκριτον γεγονότα, Χριστέ, τοῦ σοῦ βήματος ἐξ ἀφροσύνης με οἴκτειρον

Ὑπεραγία Θεοτόκε

Μαρία Θεοτόκε ἀνύμφευτε, τῶν παγίδων τοῦ ἐχθροῦ με λύτρωσαι· πρὸς σὲ γὰρ μόνην κατέφυγα·

Ὑπεραγία Θεοτόκε

Ἀνάστειλον τὴν μέθην, Πανάμωμε, τῶν παθῶν μου καὶ πρὸς τὴν σωτήριον εὐθυπαρεῖν τρίβον ποίησον.

Κανὼν τῆς Ἁγίας Ὠδὴ Ε' ἦχος πλ. δ' Ἁγία τοῦ Θεοῦ. Ἵνα τί με ἀπώσω

Ἀθλητῶν ἐν σταδίῳ, δρόμον συντονώτατον Κόρη διήνυσας· ὁ γὰρ θεῖος πόθος, τὸ τοῦ θήλεος χαῦνον ἐπτέρω-

...ΑΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΠΑΤΡ...

σὺ προφανῶς δεικνύων, τὸν λογισμὸν τῶν παθημάτων, αὐτοκράτορα Μάρτυς ὑπάρχοντα. Ἁγία τοῦ Θεοῦ

Ῥανίδες σῶν αἱμάτων, Μάρτυς ἀποστάζουσαι χλαῖναν πολύτιμον, καὶ τῆς ἀκηράτου εὐφροσύνης χιτῶνα ἐξύλανον· ὅνπερ νῦν Θεόφρον, ἐν οὐρανοῖς ἐνδεδυμένη, νυκτῶς σου νυμφίῳ παρίστασαι.

Τοῖς δεσμοῖς τῶν εὐχῶν σου, Κόρη τὸν μεγάλαυχον ὄφιν ἐδέσμευσας, καὶ ὀφρὺν τὴν πρώην, ἐπηρμένην πρὸς γῆν ἐταπείνωσας· ἐκτελεῖν γὰρ οἶδεν, ὡς ἀγαθὸς ὁ παντεπόπτης, τῶν αὐτῶν φοβουμένων τὸ θέλημα.

Ὑπερτέρας σε δόξης, θείοις διαδήμασιν ὄντως ἐκόσμησεν, ὁ νυμφίος Λόγος, δι' αὐτὸν ἐναθλοῦσαν θεώμενος καὶ πυρὸς τὴν φλόγα, καὶ αἰκισμῶν τὰς ἀλγηδόνας, καρτερῶς ὑπομένουσαν Ἔνδοξε. Θεοτοκίον

Ῥυπτομένην ὁρῶντες, τῷ τῆς παρθενίας σου τόκῳ Πανάμωμε, τῶν βροτῶν τὴν φύσιν τῆς κατάρας τῆς πρώην δοξάζομεν, τῶν ἐκ σοῦ τεχθέντα μόνη ἁγνὴ δι' εὐσπλαγχνίαν· ὃν δυσώπει Παρθένε σωθῆναι ἡμᾶς.

Ἕτερος εἰς ἦχον δ'. Σὺ Κύριε μου φῶς. Ἁγία τοῦ Θεοῦ

Φῶς γέγονας φωτὶ τῷ μεγάλῳ τρανότερον, ἐγγίζουσα καὶ φωτίζουσι, φωτοφόρον τὴν μνήμην, τὴν σὴν τοὺς ἑορτάζοντας.

Σοῦ μόνου καλλοναῖς, ὡς Παρθένος ἐνήδομαι· σὺ Κύριε ἀγαπῶσα, σφαγιάζομαι ξίφει· Μαρίνα ἀνεκραύγαζεν.

Ῥοῦν Μάρτυς δυσεβῶν, ἀθείας ἐξήρανες, τοῖς ρεύμασι τῶν αἱμάτων, τῶν ἀδίκως χυθέντων, καὶ πῦρ ἀπάτης ἔσβεσας. Δόξα πατρὶ

Ὁλόκληρον σαυτὴν, τῷ Θεῷ προσενήνοχας, ἐρύθημα Παρθενίας, ταῖς βαφαῖς τῶν αἱμάτων, λαμπρότερον τελέσασα. Καὶ νῦν Θεοτοκίον

Ῥοῦς ἔστη τῆς φθορᾶς ἡ Παρθένος ἀφθόρως γὰρ, γεγέννηκε τὸν τὴν φύσιν, τῶν ἀνθρώπων φθαρεῖσαν, φθορᾶς ἐλευθερώσαντα. Καταβασία

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τῶν ἐπὶ πάντων Θεὸν καὶ τέτοκας ἄχρονον Υἱὸν πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.



Ὠδὴ ςτ Κανὼν τῆς Θεοτόκου ἦχ. πλ. δ' Χιτῶνα μοι παράσχου

Ῥαθύμως μου τὸν βίον ἐκτελῶ, ἡδοναῖς δουλόμενος· ἐπίστρεψον, σῶσόν με. Ταῖς πρεσβείαις, Ἰησοῦ, τῆς τεκούσης σε. Ὑπεραγία

Τὸ σκότος τῶν παθῶν καὶ ἡδονῶν, τὴν ψυχήν μου, Δέσποινα. ἠμαύρωσε κάθαρον καὶ πρὸς τρίβους ἀρετῶν φωταγώγησον.

Οὐ κέκτημαι δακρύων ὀχετοὺς, ἵνα ἀποπλύνω μου τὰ ἄπειρα πταίσματα· ταῖς πρεσβείαις σου, Ἁγνὴ, τούτων ῥῦσαί με.

Λιμένα καὶ προσφύγιον, Ἁγνὴ καὶ τεῖχος ἀπόρθητον τὴν σκέπην σου, Δέσποινα. κεκτημένοι τῶν δεινῶν λυτρωθείημεν.

Ἕτερος τῆς Ἁγίας εἰς ἦχον πλ. δ'. Ἱλάσθητί μοι Σωτὴρ

Ἀπόθετον τῷ Χριστῷ, ἐφάνης κάλλος καὶ ἄσπιλον, καὶ ὡς πηγὴ διαυγὴς, καὶ κῆπος πολύκαρπος, Μαρίνα πανένδοξε, καὶ γνησία νύμφη, καὶ παράδεισος ἀσύλητος.

Ἁγία τοῦ Θεοῦ

Νεᾶνις πανεπρεπὴς, ὀπίσω σου ἠκολούθησε, δραμοῦσα πρὸς τὴν ὀσμὴν, τῶν μύρων σου Δέσποτα, τὸ ἄχραντον πάθος σου, διὰ καρτερίας μιμουμένη τὸ σεβάσμιον.

Ὑπέμεινας ἀνδρικῶς, ἀγῶνας Μάρτυς πολύαθλε, καὶ τὸν πρὶν φρενοβλαβῶς, μεγάλα καυχώμενον, μετ' ἤχου ἀπώλεσας Σταυροῦ τῇ δυνάμει, ὦ Μαρίνα κυριώνυμε.

Θεοτοκίον

Μαρία τὸ καθαρὸν, καὶ πάνσεπτον ἐνδιαίτημα, τοῦ πάντων Δημιουργοῦ, ψυχῆς καθαρτήρια, παράσχου μοι δάκρυα, Καὶ ἐπάκουσόν μου τῆς δεήσεως Πανάμωμε.

Ἕτεροι εἰς ἦχον δ' Θύσω σοι μετὰ φωνῆς. Ἁγία τοῦ Θεοῦ

Αἱμάτων τῇ πλημμύρᾳ θαλάσσης ἐξήρανας, κακοπιστίας· Χριστοῦ δὲ τὴν σεπτὴν κατήρδευσας Ἐκκλησίαν, ὦ Μαρίνα, ἀθλοφόρε παρθένων τὸ καύχημα.

Ἀβρόχως, τῶν βασάνων διῆλθες κλυδώνιον· ἀκαταπόντιστος ὅθεν εἰς λιμένα ἄκλυστον καθωρμίσθης, καὶ τῆς ὄντως ἀπολαύεις γαλήνης Ἀοίδιμε·

Τύπτεσθαι, ἀνηλεῶς καὶ ράβδοις συντρίβεσθαι, τὴν τοῦ Κυρίου ἀμνάδα, πονηρὸς διώκτης προσέταττέ σε τεταμένην, πρὸς Χριστὸν τὴν διάνοιαν ἔχουσαν.

Δόξα πατρὶ

Ὤρθρισας πρὸς Χριστὸν τὸν ἀνέσπερον ἥλιον, καὶ ταῖς αὐτοῦ φρυκτωρίαις, τὴν ψυχὴν Θεόφρον σοῦ κατηυγάσθης. Ἀθληφόρε, καὶ πρὸς φῶς μετετέθης ἀΐδιον.

Καὶ νῦν Θεοτοκίον

Θάλασσαν, σπαργανώσας ὁμίχλῃ βουλήματι κυοφωρεῖται ὁ Κτίστης ἐκ Παρθένου Κόρης ἀπειρογάμου, ὥσπερ βρέφος, καὶ σπαργάνοις ἀρρήτως εἰλήσεται.

Καταβασία

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Αἴτησις Σὺ γὰρ ὁ Βασιλεὺς

Κοντάκιον Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη Παρθένε, μαρτηρίου στίγμασι, στεφανωθεῖσα Μαρίνα, αἵμασι ἀθλητικῆς τε ῥεραντισμένη, θαύμασι καταλειφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς Μάρτυς ἐδέξω, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως.

Ὁ οἶκος

Τῷ νυμφίῳ Χριστῷ, ἔρωτι τῆς καρδίας σου ἀπὸ βρέφους σεμνὴ πυρποληθεῖσα, ἔδραμες, δορκὰς ὡς διψῶσα πηγαῖς ἀρρήτοις Παρθενομάρτυς· καὶ τῇ ἀθλήσει σεαυτὴν συντηρήσασα, ἐν τῇ ἀφθάρτῳ, ὄντως τοῦ Κτίστου σου, νύμφη εὐκλεής, θαλάμου ἔφθασας ἐστολισμένη, πεποικιλμένη, στεφανηφόρος, νικητής, λαμπαδηφόρος, εὐθαλής, ἀφθάρτου νυμφῶνος τυχοῦσα, καὶ δεξαμένη, ὡς χρυσίον, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως·

Τῇ 17 τοῦ μηνὸς Ἰουλίου Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Μαρίνης. Στιχ. Χεὶρ δημίου τέμνει σε Μαρίνα ξίφει. Χεὶρ Κυρίου χάριτι Θείᾳ δὲ στέφει Ἑβδόμῃ δεκάτῃ Μαρίνα δειροτομήθη. Τῇ αὐτῇ ἡμέρᾳ τῶν Ἁγίων Μαρτύρων Σπεράτου καὶ Βερονίκης καὶ τοῦ Ἁγίου Εὐφρομάτη ἐπισκόπου Ἰωνοπόλεως. Ταῖς τῆς Θεοτόκου καὶ τῆς Ἀθληφόρου ἐλέησον ἡμᾶς.



Κατάλυσις οἴνου καὶ ἐλαίου

Κανὼν τῆς Θεοτόκου. Ὠδὴ ζ΄. Ἦχος πλ. δ΄. Οἱ ἐκ τῆς Ἰουδαίας

Ὁ λῃστὴν ἐπὶ ξύλου, Παραδείσου πολίτην, ἀπειργασάμενος καμὲ τῶν σῶν οἰκέτην, διὰ τῆς Θεοτόκου καταξίωσον ψάλλοντι· ὁ τῶν πατέρων, ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὑπεραγία Θεοτόκε

Συμπαθείας σου θεῖα τὴν ψυχήν μου τυφλώττουσαν, φωταγώγησον, Παρθένε Θεοτόκε, καὶ ῥῦσαί με ἀτόπων ἐνθυμήσεων ψάλλοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὡς τὸν βότρυν τεκοῦσα τῆς ζωῆς, Θεοτόκε, τῶν ἀγεώργητον ἀξίωσον καρποὺς με προσφέρειν μετανοίας τῷ Υἱῷ σου κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὅλος ἐκπλήγην ὡσεὶ χόρτος ἐξηράνθη μου ταῖς νόσοις καρδία, ὡσεὶ φρύγιον δὲ τὰ ὀστᾶ μου συνεφρήγην καὶ συνετρίβην, Δέσποινα, ἴασαι τὴν συντριβήν μου.

Ἕτερος Κανὼν τῆς Ἁγίας ὁ αὐτός. Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων

Φῶς τὸ ἀπρόσιτον Μαρίνα, κατεφώτισεν ἀξίως τὴν ψυχήν σου, καὶ λαμπᾶσι φωτὸς κατηύγασε βοῶσαν. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἤρθης πρὸς θεῖον ὄντως ὕψος· ὑψηλὴν γὰρ σοῦ ἐκέκτησο τὴν γνώμην· καὶ νυμφῶνα λαμπρὸν κατῴκησας βοῶσα. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Νύμφη γνησία τοῦ Δεσπότου, ἀναδέδειξαι Μαρίνα Θεοφόρε, καὶ ὡς Μάρτυς αὐτῷ ἀήττητος κραυγάζεις. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ἄρχων οὐκ ἔτι ἐξ Ἰούδα, ἀλλ' ἐξέλιπεν· ἐκ σοῦ γὰρ ὁ Δεσπότης, τῶν ἐθνῶν ἡ ἐλπὶς ἀνέτειλεν ἀφράστως· ὃν εὐλογοῦσιν ἅπασαι, γενεαὶ φυλαὶ καὶ γλῶσσαι.

Ἕτερος τῆς Ἁγίας ἦχος δ΄. Ἐν τῇ καμίνῳ. Ἁγία τοῦ Θεοῦ πρέσβευε.

Πυρὶ τῷ θείῳ, φλεγομένη πυρὸς οὐκ ἐφρόντισας· ὅθεν ἐπομβρίζεις πάντοτε τοῖς πιστοῖς, ἰαμάτων θεῖα νάματα, παθῶν ἐπήρειαν, ἀθληφόρε Μαρίνα ξηραίνουσα.

Πολυειδέσιν αἰκισμοῖς ἐκ φοβῶν σε ὁ τύραννος, εὗρε

τὴν ψυχὴν σου πέτρας ὡς ἀληθῶς, στερροτέραν· ἀνεβόας γάρ: εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

(Δόξα πατρί).

Σὺ τῷ νυμφίῳ, καθάπερ προῖκα προσήγαγες, δῆμον καὶ λαὸν πιστεύσαντα εἰς Θεὸν, καὶ τῆς πλάνης ἀμαυρότητα, ταῖς φωτοβόλαις σου, θαυματουργείαις ἀποκρουσάμενον.

(Καὶ νῦν θεοτοκίον)

Παρθένε μόνη, ὡς καθαράν σε ἀδιάφθορον, Λόγος καθαρὸς ἠγάπησε καὶ ἐξ οὗ ἀνεπλάσατο σαρκούμενος, Κόρη τὸν ἄνθρωπον, ὁ Μαρίναν δοξάσας τοίς θαύμασι.

Καταβασία

Οὐκ ἐλάτρευσαν τῇ κτήσει οἱ Θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες χαίροντες ἔψαλλον. Ὑπερύμνητε ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Τῆς Θεοτόκου Ἦχος πλ. δ'. Τὸν Βασιλέα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὰς τῶν δαιμόνων ἐπιβουλὰς καὶ τὰ τόξα, κατ' ἐμοῦ κινούμενα, Σωτήρ μου, σύντριψον καὶ δεῖξον ἀνώτερόν με τούτων.

Ἴασαι, Δέσποινα ἀγαθὴ, τῆς ψυχῆς μου, τὰ δεινὰ καὶ τραύματα, καὶ ἕλκη, ἵνα σὲ δοξάζω τὴν Κεχαριτωμένην.

Ὁ ὑπὲρ πάντας τοὺς γηγενεῖς ἁμαρτήσας, ἐπὶ σὲ Πανάχραντε προσφεύγω· φύλαξον τὴν ψυχήν μου ἐκ πάσης ἁμαρτίας.

Σοὶ, Θεομῆτορ, προσπεφευγὼς ἐκ παντοίων, ἀναγκῶν τοῦ βίου καὶ κινδύνων, κράζω, Θεοτόκε Παρθένε, λύτρωσαί με.

Ὠδὴ η' τῆς Ἁγίας. Ἦχ. δ'. Μουσικῶν ὀργάνων. Ἁγία τοῦ Θεοῦ.

Σταθερὰν τὴν γνώμην κεκτημένη, σταθερῶς τοὺς ἄθλους ἐκαρτέρεις, καὶ στέμμασιν νικητικοῖς, ἐστέφθης μελῳδοῦσα· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.



Μυστικὴν Μαρίνα σε παστάδα, ὁ ψυχῶν νυμφίος Θεὸς λόγος, ηὐτρέπισεν ἐν οὐρανοῖς, ὃν βλέπουσα κραυγάζεις· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀρεταῖς ποικίλαις κοσμουμένη, δωρεῶν πλειόνων ἠξιώθης, τὸ ἔσχατον τῶν ὀρεκτῶν ὁρῶσα καὶ βοῶσα· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σωτηρίου ὤφθης, Ἀθληφόρε, τοῖς πολλοῖς αἰτία καὶ Μαρτύρων, προσήγαγες δῆμον Χριστῷ, συμφώνως μελῳδοῦσα· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον

Ἱλασμὸς ἡμῖν Θεογεννῆτορ, διὰ σοῦ ἐδόθη· σὺ γὰρ μόνη ἀπέτεισας τὴν ὀφειλὴν, τὸν πάντων συλλαβοῦσα, Θεόν τε καὶ Δεσπότην, ἄχραντε Παρθένε, εἰς πάντων σωτηρίαν.

Ἕτερος τῆς Ἁγίας Ἦχ. δ'. Χεῖρας ἐκπετάσας Ἁγία τοῦ Θεοῦ.

Παρθένον καὶ σῶμα καὶ ψυχὴν, Θεῷ διέσωσας, καὶ προσενήνοχας, ὡς προῖκα πάντιμον ἔνδοξε, τὴν ἀοίδιμόν σου ἄθλησιν, καὶ εἰς νυμφῶνα νοητὸν, εἰσήχθης μέλπουσα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥήμασι τυράννου δυσμενοῦς, ὑπηρετούμενοι πυρὸς ἐπάξιοι, οἱ ματαιόφρονες ζῶσάν σε τῇ πυρᾷ Μάρτυς ἐνέβαλον· ἀλλ' οὐκ ἐφλέχθης τῷ πυρὶ, τοῖς τοῦ νυμφίου στοργῆς, Θεοφόρε δροσιζομένη, καὶ τοῦτον γεραίρουσα.

Ἵστασο πρὸ βήματος Χριστὸν, ἀνακηρύττουσα Θεὸν ἀθάνατον καθυπομείναντα σταύρωσιν, καὶ τὴν πλάνην θανατώσαντα, καὶ τὴν ἀθάνατον ζωὴν πιστοῖς παρέχοντα, τοῖς βοῶσι. Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον

Καὶ νῦν Θεοτοκίον

Ὤφθης ὑπερτέρα οὐρανῶν, Θεὸν οὐράνιον ἀποκυήσασα τὸν οὐρανώσαντα Πάναγνε, γηγενῶν ὅλον τὸ φύραμα, καὶ τῆς Μαρίνης τὴν σεπτὴν, μνήμην φαιδρύναντα· ᾧ βοῶμεν. Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Αἰνοῦμεν εὐλογοῦμεν. Καταβασία

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο· τότε μὲν τυπούμενος· νῦν δ' ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑ-

μνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Τῆς Θεοτόκου ἦχ. πλ. δ'. Κυρίως Θεοτόκου
Ὑπεραγία Θεοτόκε σῶσον.

Ἁγία Θεοτόκε καὶ δεδοξασμένη, ὑπὲρ ἡμῶν τὸν Υἱόν σου ἱκέτευε, τοῦ λυτρωθῆναι κινδύνων ἡμᾶς τοὺς δούλους σου.

Ἱλάσθητι, σωτήρ μου, πᾶσι τοῖς τιμῶσι, τὴν Ὑπερένδοξον ὄντως Μητέρα σου, καὶ παραδείσου τῆς δόξης δεῖξον οἰκήτορας.

Τὰ ῥήματά μου, Κόρη, ἐνωτισαμένη, τὴν οἰκτροτάτην μου δέησιν πρόσδεξαι, καὶ τῆς κολάσεως ῥῦσαι καὶ αἰωνίου πυρός.

Ὦ Δέσποινα Παρθένε, τὴν ἐσκοτισμένην, ταῖς ἁμαρτίαις ψυχήν μου καταύγασον, τὴν εὐτελῆ ἱκεσίαν προσδεξαμένην μου.

Ὠδὴ Θ'. Ἦχος ὁ αὐτός. Ἔφριξε πᾶσα ἀκοὴ Ἁγία τοῦ Θεοῦ.

Μαρίνα Μάρτυς τοῦ Χριστοῦ, τὴν αἰώνιον ζωὴν καὶ ἀνώλεθρον, ἐν Παραδείσῳ τρυφῆς, ἐπιτηδείως ὄντως ἐτρύγησας· τὴν στρεφομένην ἀβλαβῶς, ῥομφαίαν διέβης γάρ, μαρτύρων αἵμασι, λαμπομένη τηλαυγῶς Καλλιπάρθενε.

Ἔφλεξε πᾶσαν ὑλικήν, καὶ φιλόκοσμόν σου Μάρτυς διάνοιαν, ἔρως ὁ ἔνθεος, καὶ στερροτάτην Μάρτυρα ἔδειξε, παρθενικαῖς μαρμαρυγαῖς, τὸ πρὶν διαλάμπουσα, Μαρίνα πάνσεμνε· διὸ πάντες πιστῶς μακαρίζομεν.

Λῦσον μου νύμφη ἐκλεκτή, τῶν πταισμάτων τὰς σειρὰς ταῖς πρεσβείαις σου, καὶ τὸ χειρόγραφον, τῆς ἁμαρτίας Μάρτυς διάρρηξον, παρισταμένη εὐπρεπῶς, Χριστῷ τῷ νυμφίῳ σου, τῷ πανοικτίρμονι, καὶ παθῶν μου τὴν ἀχλὺν διασκέδασον.

Πέπαυται φρύαγμα δεινῶν, τοῦ ἀλάστορος· ἰδοὺ γὰρ νεάνιδες ἐπιλαθόμενοι, τῆς γυναικείας φύσεως ἤθλησαν· καὶ κατ' αὐτοῦ περιφανῶς, τὴν νίκην ἀράμεναι, νῦν τῆς προμήτορος, ἀνεκτήσαντο σαφῶς τὴν παράπτωσιν.

Θεοτοκίον

Ὥριμον δρέπομαι ζωήν, μὴ βλαπτόμενος, τῷ ξύλῳ τῆς γνώσεως· σὺ γὰρ Πανάχραντε, ζωῆς τὸ ξύλον, Χρι-



στὸν ἐβλάστησας, τῶν τὰς εἰσόδους τῆς ζωῆς τοῖς πᾶσι γνωρίζοντα· διὸ σὲ Πάναγνε, Θεοτόκον εὐσεβῶς καταγγέλλομεν.

Ἕτερος τῆς Ἁγίας Ἦχος δ'. Λίθος ἀχειρότμητος Ἁγία τοῦ Θεοῦ.

Τῶν Ἀντιοχέων ἡ πόλις, σοῦ τοῖς σπαργάνοις καὶ τοῖς ἄθλοις, Μάρτυς ἐγκαυχᾶται· τῶν ἄνω, ἡ Ἐκκλησία τῶν πρωτοτόκων δὲ μετὰ δικαίων ἔχει σου, πνεῦμα τὸ θεῖον εὐφραινόμενον.

Ἰδόντες σου Μάρτυς Μαρίνα, τοὺς ὑπὲρ πίστεως ἀγῶνας, Ἄγγελοι ἐθαύμασαν, ὅπως ἐν γυναικείᾳ φύσει κατῄσχυνας, τὸν πρίν, τὴν σὴν προμήτορα, ἐν Παραδείσῳ θανατώσαντα.

Ὡς περικαλὴς ἀθλοφόρος, καὶ περιδέξιος Παρθένος, στέφος ἀνεπλέξω νομίμως, δικαιοσύνης καταπατήσασα, μετὰ σαρκὸς τὸν ἄσαρκον, καὶ νικηφόρως χρηματίσασα.

Σὲ τὴν νοητὴν χελιδόνα, καὶ ἀδιάφθορον ἀμνάδα, καὶ περιστερὰν χρυσαυγούσας, τῷ μαρτυρίῳ ἔχουσαν πτέρυγας, καὶ πρὸς Θεὸν πετάσασα, καὶ καταπαύσασαν γεραίρομεν. Δόξα πατρὶ

Ἤνθησας κοιλάσιν ὡς κρίνον, ταῖς τῶν Μαρτύρων ἀθλοφόρε, ὦ Μάρτυς Μαρίνα ὡς ῥόδον, τὴν παρθενίαν εὔοσμον φέρουσα· καὶ τῷ τερπνῷ νυμφίῳ σου, θεῖον ὀσφράδιον γεγένησαι. Καὶ νῦν Θεοτοκίον

Φῶς ἡμῖν ἀνέτειλας μήτρας, ἐξ ἀπειράνδρου σου Παρθένε· οὗ ταῖς φρυκτωρίαις ἐνθέως, καταυγασθεῖσα φῶς ἐχρημάτισεν. ἡ τῆς χαρᾶς ἐπώνυμος, Θεοκυῆτορ Μητροπάρθενε. ἡ Τιμιωτέρα καὶ Καταβασία

Ἅπας γηγενὴς σκιρτάτω τῷ Πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δε, ἀΰλων Νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω· χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Αἴτησις ὅτι σὲ αἰνοῦσι. Ἐξαποστειλάριον Ὁ οὐρανὸν τοῖς ἄστροις

Μαρίνα Μάρτυς Κυρίου, καὶ καλλιπάρθενε νύμφη, ῥῦσαι λαόν σου καὶ πόλιν, ἐκδυσωποῦσα τὸν Θεόν, ὅπως ῥυσθῶμεν οἱ πάντες, φθορᾶς ὀργῆς καὶ κινδύνων.

Θεοτοκίον.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα. πῶς γαλουχεῖς τὸν Δεσπότην ;

Εἰς τοὺς Αἴνους ψάλλομεν Στιχηρὰ Προσόμοια δευτεροῦντες τὸ α΄. Ἦχ. δ΄. Ὡς γενναῖον.

Πολυώδυνα βάσανα, ὑποστῆναι πανένδοξε, ἀνδρικῷ φρονήματι ηὐτομόλησας· καὶ τῶν Ἑλλήνων σεβάσματα, ὡς κόνιν ἐλέπτυνας· καὶ τὸν τύραννον ἐχθρόν, ἀθληφόρε πανεύφημε τὸν καυχώμενον, ὑπεράνωθεν ἄστρων θρόνον θεῖναι, οὐ κατήσχυνας Μαρίνα καὶ τοὺς λαοὺς κατεφώτισας.

Τὸν ἀρχέκακον δράκοντα, τὸν τὴν Εὔαν γυμνώσαντα, παραβάσει πρότερον, Μάρτυς ἔνδοξε, διὰ σταυροῦ ἀπενέκρωσας ἀγῶσι δεσμεύσασα, τοῖς σεπτοῖς σου εὐσεβῶς, Χριστὸν δύναμιν ἔχουσα· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Ὥσπερ προῖκα πολύτιμον, τῷ νυμφίῳ προσήγαγες, Ἀθληφόρε ἔνδοξε δῆμον ἅγιον, τοῖς θαυμασίοις πιστεύσαντα, οἷς πίστει ἐτέλεσας, ἀνωτέρα καὶ ποινῶν, καὶ πυρὸς καταφλέγοντος, καὶ στρεβλώσεων, ἐν Χριστῷ δεικνυμένη τῷ τὴν νίκην οὐρανόθεν σοι Παρθένε θεουργικῶς χορηγήσαντι.

Δόξα πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι Ἦχ. πλ. β΄,

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλήν, Μαρίνα πανσεβάσμιε· καὶ ὡς μὲν Παρθένος, φρονίμη λαμπαδηφόρος εἰσῆλθες εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς ἀνδρείας, χάριν ἔλαβες, ἀπελαύνειν πᾶσαν νόσον ἐξ ἀνθρώπων. Ἀλλὰ καὶ ἡμεῖς τοὺς ὑμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐλευθέρωσον ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμὴν Θεοτοκίον ὁ αὐτός

Μεγάλων χαρισμάτων ἁγνή, Παρθένε Θεομῆτορ σεμνή, ἠξιώθης, ὅτι ἔτεκες σαρκί, τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν ζωοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.



Δοξολογία μεγάλη καὶ εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ ἐκ τῶν Κανόνων ᾠδὴ γ΄ καὶ στ΄

Ἀπολυτήκιον τῆς Ἁγίας Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τοῦ Πατρὸς ἐκ βρέφους, ἀπεστράφης τὰ εἴδωλα, καὶ τοῦ Ὀλυβρίου τυράννου τὴν ὀφρὺν κατεπάτησας. Μαρίνα πανεύφημε σεμνή· ρωσθεῖσα ἰσχύει δὲ Σταυροῦ αἰσθητῶν τὴν τοῦ φανέντος σὴν κεφαλὴν συντρίβεις πολεμήτορος. δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον τῆς Ἁγίας Ἦχος γ΄.
Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, μαρτυρίου στίγμασι, στεφανωθεῖσα Μαρίνα, αἵμασιν ἀθλητικοῖς τε ρεραντισμένη, θαύμασι καταλαμφθεῖσα τῶν ἰαμάτων. εὐσεβῶς Μάρτυς ἐδέξω, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως.

Κοντάκιον τῆς Θεοτόκου εἰς Ἦχον πλ. β΄.

Τὴν Ὑπερένδοξον τοῦ Θεοῦ Μητέρα, καὶ τῶν ἁγίων Ἀγγέλων ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν καρδίᾳ καὶ στόματι Θεοτόκον αὐτὴν ὁμολογοῦντες, ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον, καὶ πρεσβεύουσαν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν,

Ὁ Ἀπόστολος τῆς Ἁγίας. Προκείμενον Ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν· ὑπὸ νόμου ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμέν. Πάντες γὰρ Υἱοὶ Θεοῦ ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθαι. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἄρσεν καὶ θῆλυ, πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ'

ὅσον χρόνον ὁ κληρονόμος νήπιος ἐστὶν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἤμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ἀλληλούϊα

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα· ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ ἐν ἑαυτῇ· Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ. Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις. Τίς μου ἥψατο; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὁ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Μετὰ τὸ ἐξαιρέτως εἰς τὰ Δίπτυχα ψάλλομεν τὸ Μεγαλυνάριον τῆς Ἁγίας.

Χαίρει καθορῶσα τῷ Πνεύματι ἡ Προμήτωρ Εὔα, συμπατούμενον τοῖς ποσὶ, Μάρτυρος Μαρίνης, ὃν δράκοντα δολίως, αὐτὴν τοῦ Παραδείσου ἐφυγαδεύσατο.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἢ τὰ παρόντα Μεγαλυνάρια.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε Χριστοῦ τὴν ἀθληφόρον. Βασάνους δριμυτάτους ὑπέμεινας γενναίως, ὑπὲρ



Χριστοῦ, Μαρίνα, Γένος Ὀρθοδόξων, Μαρίνα, ἑορτάζει σήμερον σοὺς ἀγῶνας.

Ἐδόξασε, Μαρίνα, σὲ ὁ Χριστὸς ἀξίως ὡς δι' αὐτὸν παθοῦσα.

Ἤθλησας, Μαρίνα, ὑπὲρ Χριστοῦ ἀγάπης, καὶ ᾔσχυνας τυράννους.

Θαυμάτων, Κόρη, χάριν, παρὰ Χριστοῦ ἐδέξω Μαρίνα ἀθληφόρε.

Ἐκ νόσων καὶ κινδύνων ταῖς σαῖς εὐχαῖς, Μαρίνα, λύτρωσαι τοὺς σοὺς δούλους.

Λειψάνων σου τὴν θήκην, πιστῶς προσκυνοῦμεν, Μαρίνα ἀθληφόρε.

Μαρίνα καλλιμάρτυς, ἐπάκουσόν μου τάχος θερμῶς σε προσκαλοῦντας.

Μαρτύρων καὶ παρθένων ἄφαισμα καὶ κλέος Μαρίνα, σὺ ὑπάρχεις.

Μαρίνα τοὺς τελοῦντας σὴν ἑορτὴν, λιταῖς σου περίσωζε ἀτρώτους.

Μαρίνα, ἀθληφόρε, ἱλέωσαι τὸν Κτίστην ἡμῖν ταῖς σαῖς πρεσβείαις.

Μαρίνα Χριστοῦ νύμφη, ἱκέτευε ἀπαύστως ὑπὲρ ἡμῶν τὸν Πλάστην.

Προσκυνοῦμεν πόθῳ, Μαρίνα, σὴν εἰκόνα, εἰς τύπον τῆς μορφῆς σου.

Πανευλαβῶς, Μαρίνα, προστρέχωμεν Ναῷ σου σὲ εὐφημοῦντες ὕμνοις.

Τὰ βέλη τῶν τυράννων συνέτριψας, Μαρίνα, τῇ σῇ στερρᾷ ἀθλήσει.

Τὰς τοῦ ἐχθροῦ παγίδας τὰς καθ' ἡμῶν, Μαρίνα, διάλυσον λιταῖς σου.

Τελοῦμέν σου τὴν μνήμην ἐν ὕμνοις, ὦ Μαρίνα, Χριστὸν δοξολογοῦντες.

Τοῦ Ὀλυμβρίου θράσους κατῄσχυνας, Μαρίνα, καὶ πάσας ἐπινοίας.

Τοὺς ἐπιτελοῦντας σὴν ἑορτὴν, Μαρίνα λύτρωσαι τῆς γεέννης.

Τοὺς τῷ Ναῷ σου, Μάρτυς, προστρέχοντας, Μαρίνα, φύλαττε ἐν εἰρήνῃ.

Παρθενομάρτυς ἅμα παρθένοις, ταῖς φρονίμοις, Μαρίνα συγχωρεύεις.

Τὸν σὸν Ναόν, Μαρίνα, κεκτήμεθα ὡς μέγα νοσοῦντες ἰατρεῖον,

Τοὺς συναθροισθέντας σῇ ἑορτῇ, Μαρίνα, ῥῦσαι παντοίας βλάβης.

Εἰς ἔτη πλεῖστα, Μάρτυς ἀξίωσον τελεῖν σου ἡμᾶς τὴν ἑορτήν σου.

Δόξα πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Χριστέ μου ἀθλοθέτα, Μαρίνης ταῖς πρεσβείαις σῶσον ἡμᾶς τοὺς πάντας.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πανύμνητε, ὦ μῆτερ, μετὰ τῆς ἀθληφόρου ὑπὲρ ἡμῶν δυσώπει.

Ὁ Πολυέλαιος τῆς Ἁγίας, καὶ εἰς τοὺς λοιποὺς Μάρτυρας. Καὶ δύναμις

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις Ἀλληλούϊα. Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα· διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν. Καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι ; μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ Θεὸς Ἀλληλούϊα. Ὅτι ἰδοὺ οἱ ἐχθροί μου ἤχησαν καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην. Καὶ ἐβουλεύσαντο κατὰ τῶν Ἁγίων σου Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ Ἀλληλούϊα. Τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ. Ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν Ἀλληλούϊα. Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Ἐγεννήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν. Ἀλλ. Καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. Ἐν τῷ καταλᾶσθαι τὰ ὀστᾶ μου ὀνείδιζόν με οἱ ἐχθροί μου. Καὶ ἐγενόμην μεμαστιγομένος ὅλην τὴν ἡμέραν. Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. Ἀλληλούϊα. Ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον Εἰσήγαγες ἡμᾶ εἰς τὴν παγίδα. Ἔθου θλίψεις ἐπὶ τῶν νότων ἡμῶν. Ἀλ



ληλούϊα. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν, Ἀλληλούϊα. Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι. Ὅτι Κύριος ἐν γενεᾷ δικαίων καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται. Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν. Ἀλληλούϊα. Καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίοις καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν Ἀλληλούια. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ἐρρύσατο αὐτοὺς ὁ Κύριος. Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται Ἀλληλούια. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου. Φῶς ἀνέτειλε τῷ δικαίῳ καὶ τοῖς εὐθέσι τῆς καρδίας εὐφροσύνη. Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ. Καὶ ἐξομολογεῖσθαι τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Ἀλληλούια. Πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. Ἀλληλούια. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, καὶ ἐλποῖ ἐπ' αὐτόν. Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Ἀλληλούια. Ἀλληλούια. Ἀ λληλούια.

Ὅπου λέγεται εἰς ἕκαστον στίχον *Δόξα πατρὶ*

Τὸν πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν, καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες· Παναγία Τριὰς σῶσον πάντας ἡμᾶς. Καὶ νῦν.

Τὴν Μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ λαός σου Χριστὲ· ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθὲ· ἵνα σὲ δοξάζωμεν, τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

Αἴτησις. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ ἡ παράκλησις τῆς Ἁγίας Μαρίνης ὑπὸ τοῦ Ἀργυρουπόλεως Σεραφεὶμ Μετὰ τὸ εὐλογητὸν τὸ Κύριε εἰσάκουσον. εἶτα τὸ Θεὸς Κύριος καὶ τὸ Τροπάριον Ἦχος δ'. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Τὴν ἀθληφόρον καὶ Παρθένον Μαρίναν, τὴν δι' ἁγνοί-

ας τὴν ψυχὴν ὡραΐσασαν, ἀνευφημοῦντες κράζομεν ἐκ μέσης ψυχῆς Μάρτυς ἀξιάγαστε, ταῖς πρεσβείαις σου ῥῦσαι, πάντας τοὺς τιμῶντας σε, τοῦ λιμοῦ καὶ λοιμοῦ τε καὶ πάσης ἄλλης βλάβης τοῦ ἐχθροῦ ὅπως ὑμνῶμεν ἐνθέως τὴν μνήμην σου.

Δόξα τὸ αὐτὸ καὶ νῦν Θεοτοκίον. Τῇ Θεοτόκῳ ἐκτενῶς. Ὁ Ν΄ ὁ Κανὼν πλ. δ΄. Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας Σεραφεὶμ Ἁγία τοῦ Θεοῦ.

Σκιρτῶσα, Μαρίνα, ἐν οὐρανῷ, καὶ τῶν τοῦ ὑψίστου πληρουμένη μαρμαρυγῶν, φ τισον τὸν νοῦν μου σαῖς πρεσβείαις, καὶ σκοτασμοῦ τῶν παθῶν με ἀπάλλαξον.

Θερμῶς ἱκετεύω σε ὁ οἰκτρὸς, ταῖς σαῖς ἱκεσίαις, ὦ Μαρίνα Μάρτυς Χριστοῦ, δυσχερῶν τοῦ βίου λύτρωσαί με καὶ τὸν παθῶν μου τὸν τάραχον κόπασον. Δόξα πατρὶ

Μέγα τὸ κατόρθωμά σου, Σεμνή· δράκοντα γὰρ μέγαν ἐταπείνωσας εὐθαρσῶς· κἀμοὶ ὅθεν δώρησαι, Μαρίνα, περιφρονῆσαι αὐτοῦ τὰ σοφίσματα. Καὶ νῦν

Σὺ εἶ, Παρθένε ἄσπιλε, τῆς ἐμῆς διανοίας θάρρος, καὶ ἐλπίς μου τῆς ταπεινῆς, ψυχῆς καὶ καρδίας ταλαιπώρου σὺ εἶ τὸ φῶς, ἡ ζωὴ καὶ ἀνάστασις.

Ὠδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Χαίρουσα, Πανόλβιε, ἐν Οὐρανοῖς σὺν τοῖς Μάρτυσι, πάντας ἡμᾶς φρούρησον εὐχαῖς σου, καὶ παθῶν ἐλευθέρωσον..

Σκέπην τὴν Εἰκόνα σου, Σοφὴ Μαρίνα, οἰόμενοι, δαιμονικὰς φεύγωμεν παγίδας, καὶ δεινῶν ἐκλυτρούμεθα.

Δόξα πατρὶ

Ὕμνον χαριστήριον ὁ σὸς οἰκέτης προσφέρω σοι, διασωθεὶς δεινῆς ἀσθενείας, ὦ Μαρίνα, πρεσβείαις σου.

Καὶ νῦν

Ἔχω σε Πανάσπιλε, βίου προστάτην καὶ τεῖχος ἄρρηκτον· διὸ δεινῶν τοῦ ματαίου βίου, οὐ πτοοῦμαι τὴν ἔφοδον.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε. Ἁγία τοῦ Θεοῦ.

Ἐντρυφῶσα, Πανένδοξε, καὶ ἐνηδομένη θείαις λαμπρότησι, τῶν τιμώντων σε μνημόνευε, καὶ ἐκ νόσων ῥύου ταῖς πρεσβείαις σου.



Τῶν Ἁγίων αἱμάτων σου οἱ κρουνοί, Μαρίνα, κατέσβεσαν, τὴν δεινὴν παθῶν μου φλόγωσιν καὶ εἰς ὑγείαν με ὁδήγησον. Δόξα πατρὶ

Σταλαγμοῖς τῶν αἱμάτων σου, πάσαι ἀθείας πυρὰν κατέσβεσας καὶ τῶν σῶν τιμώντων ἤρδευσας τὰς ψυχὰς Μαρίνα, Θεοδόξαστε. Καὶ νῦν

Ῥόδον σὺ τὸ ἀμάραντον, ὦ Παρθένε μόνη βλαστήσασα, ταῖς πρεσβείαις σου περίσωζε, τοὺς προτρέχοντας σοι, Μητροπάρθενε.

Ὠδὴ Ε΄. Φώτισον ἡμᾶς. Ἁγία τοῦ Θεοῦ,

Φώτισον ἡμᾶς, τοὺς τιμῶντας σε, Θεόπνευστε, φωτὶ τῷ μεγάλῳ νῦν προσεγγίζουσα, καὶ φωτοφόρους τὰς ψυχὰς ἡμῶν ἀπέργασαι.

Ῥεύμασι σεπτοῖς τῶν αἱμάτων σου, κατέσβεσον πῦρ τὸ τῆς ἀπάτης καὶ ξήρανον ῥοῦν, τῆς δυσσεβῶν τυραννίας, Μαρίνα Πάνσεμνε. Δόξα πατρὶ

Θείαις καλλοναῖς τοῦ Νυμφίου σου, ἀοίδιμε, ἐνηδομένη τῶν ὑμνούντων σε, φωτὸς τοῦ θείου τὰς ψυχὰς εὐχαῖς σου ἐμπλησον. Καὶ νῦν

Ἄχραντε σεμνή, θείῳ ὕδατι με ῥάντισον, καὶ ταῖς λιβάσι τοῦ ἐλέους σου, σταγόνας δίδου τῶν δακρύων ὑετίζειν με.

Ὠδὴ στ΄ Ἱλάσθητί μοι Σωτήρ. Ἁγία τοῦ Θεοῦ.

Ἐπήλυθε φωταυγὴς, Σεμνὴ ἡ μνήμη σου σήμερον, φωτίζουσα τοὺς πιστοὺς ἐν ταύτῃ τιμῶντάς σε, καὶ σκότος διώκουσα, παθῶν ἀνιάτων, καὶ δαιμόνων ταῖς πρεσβείαις σου.

Στεφάνῳ παρθενικῷ, Χριστὸς, Μαρίνα, σὲ ἔστεψεν, ὡς καθαρὰν καὶ ἁγνὴν, καὶ χορῷ Παρθένων σε δεόντως ἐσκήνωσε· διὸ ὑπὲρ πάντων ἡμῶν τοῦτον καθικέτευε.

Δόξα πατρὶ

Φωνῇ Ἀρχαγγελικῇ Θεὸν, Μαρία, ἐγέννησας, ὃν ἐξιλέωσαι νῦν, ἡμῖν ὡς ἰσχύουσα, τοῖς πίστει κραυγάζουσι, δωρηθῆναι λύσιν τῶν πταισμάτων, Παναμώμητε.

Διάσωσον ἀπὸ κινδύνων, Μαρίνα, ταῖς σαῖς πρεσβείαις τοὺς ἐν πίστει εἰλικρινῆ πρὸς σὲ καταφεύγοντας, καὶ ἰα-

σαι τὰ πολλὰ ἡμῶν πάθη. Θεοτοκίον

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Ὁ Ἱερεὺς μνημονεύει ὡς ἔθος· Εἶτα τὸ Κοντάκιον. Ἦχος β'.

Νύμφη ἐκλεκτὴ τοῦ Σωτῆρος, Μαρίνα ἔνδοξε, τὰς σειρὰς τῶν πολλῶν μου πταισμάτων διάρηξον, παθῶν φθορᾶς καὶ κινδύνων ῥῦσαι, καὶ τὴν ἀχλὺν τῶν νόσων μου διασκέδασον, ταῖς πρὸς Θεὸν λιταῖς σου, Πανaοίδιμε.

Προκείμενον Ἦχ. δ' Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτρας τοὺς πόδας μου.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, συγκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν· καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτούς. Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν, μήτε ῥάβδους μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. Καὶ εἰς ἣν οἰκίαν εἰσέλθητε ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθαι. Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ' αὐτούς. Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ. Θ. 1-6.

Δόξα τῆς Ἀθληφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στιχ. Ἐλεῆμον ἐλέησον, καὶ τὸ Προσόμοιον.

Ἦχος πλ. β' Ὅλην ἀποθέμενοι...

Μαρίνα Πανένδοξε, τῶν Ἀθλοφόρων τὸ κλέος, σὺν Παρθένων τάγμασι, καὶ χοροῖς Μαρτύρων, τοὺς ἐκτελοῦντας σου πίστει τὴν Κοίμησιν καὶ τὴν θείαν Μνήμην καὶ τῇ σκέπῃ προσπελάζοντας τῇ σῇ, Πανεύφημε, σῶζε τῷ Κυρίῳ πρεσβεύουσαι, καὶ πᾶσαν νόσον ἴασαι, καὶ τῶν ψυχικῶν



ἐλευθέρωσον, δεινῶν ἀλγηδόνων, καὶ ῥῦσαι ἐκ κινδύνων τοῦ ἐχθροῦ, ὡς παρησίαν πρὸς Κύριον, ἔχουσα, θεόσοφε ....

Καὶ τὸ σῶσον ὁ Θεὸς κτλ.

Ὠδὴ Ζ'. Παῖδες Ἑβραίων.— Ἁγία τοῦ Θεοῦ.

Ὄμβροις τῶν σῶν αἱμάτων ῥεῖθρα, ἀπεξήρανας εἰδώλων φλυαρίας· ἐπομβρίζεις δὲ νῦν ἰάματα παντοῖα, Μάρτυς Μαρίνα, παυουσα, πῦρ δεινῶν νόσων παντοίων

Μάρτυς Μαρίνα, τῇ Ὑψίστῳ στεφηφόρος ἀεὶ παρισταμένη, ὑπὲρ πάντων ἡμῶν τῶν σε ὑμνολογούντων, διηνεκῶς ἱκέτευε, τοῦ ῥησθῆναι ἐκ κινδύνων.

Πᾶσι πηγάζει, ὦ Μαρίνα, ποταμοὺς ἰαμάτων ἡ εἰκών σου, τὰς ὀδύνας ἀεὶ ἐξαίροντας σωμάτων, καὶ τὰς ψυχὰς δροσίζοντας, καὶ πληροῦντας θυμηδίας.

Καὶ νῦν Θεοτοκίον.

Ἔπαινον γλώσσης ἐξ ἀνάγνου τῇ Παναγνῷ σοι προσφέρω Θεοτόκε, ἐναγῶν λογισμῶν ρυσθῆναι δυσωπῶν σε, καὶ μολυσμῶν τοῦ σώματος, ὦ Ἀμόλυντε Κυρία.

Ὠδὴ Η'. Τὸν Βασιλέα... Ἁγία τοῦ θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τοὺς τὴν σὴν μνήμην τὴν φωτοφόρον τιμῶντας, ἀπὸ πάσης ῥῦσαι ταῖς πρεσβείαις, νόσου ὦ Μαρίνα, ἵνα σὲ μακαρίζω.

Τῶν ἰαμάτων χάριν λαβοῦσα, Μαρίνα, ἀπελαύνεις νόσους ἀνιάτους, ἐκ τῶν σὲ τιμώντων καὶ πόθῳ γεραιρόντων.

Δόξα πατρί.

Ἀποκαθαίρει μολυσμοὺς παθημάτων, ἡ Εἰκών σου τῶν πόθω γεραιρόντων Μνήμην σου τὴν θείαν Μαρίνα Ἀθληφόρε. Καὶ νῦν καὶ ἀεί.

Ἰωθεῖσάν μου, τὴν ψυχὴν ἁμαρτίαις, δραστικῷ φαρμάκῳ σῆς πρεσβείαις, ἴασαι, Παρθένε, ἐλπὶς τῶν σὲ ὑμνούντων.

Ὠδὴ Θ'. Κυρίως Θεοτόκον. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θεώσεως τυχοῦσα, καὶ φωτὶ τρυφῶσα τῷ Οὐρανίῳ,

Μαρίνα Θεόληπτε, τοὺς σὲ ὑμνοῦντας λιταῖς σου, δεινῶν ἀπάλλαξον.

Μαρίνα δωρηθῆναι, πᾶσιν Ὀρθοδόξοις, ἀπαλλαγὴν δεινῶν νόσων καὶ θλίψεων, καὶ Χριστὸν δυσώπει, καὶ ρῶσιν ψυχῆς καὶ σώματος. Δόξα πατρί.

Μαρίνα Θεοῦ δόξαν, ἐνοπτριζομένη, ὑπὲρ τῶν σὲ εὐφημούντων αὐτὸν δυσώπησον, τοῦ μετασχεῖν θείας δόξης τε καὶ λαμπρότητος. (Καὶ νῦν)

Μαρία Θεοτόκε σὲ ὑμνολογοῦμεν, ὅτι κινδύνων καὶ νόσων λυτροῦσαι ἡμᾶς, διηνεκῶς τὸν σὸν Τόκον καθικετεύουσα.

Τὸ Ἄξιον ἐστίν, καὶ τὰ παρόντα Μεγαλυνάρια.

Τὴν ἄμωμον νύμφην τοῦ Ἰησοῦ Μαρίναν τὴν θείαν, ἱκετεύσωμεν οἱ πιστοί, βοῶντες ρῦσαι νόσων καὶ δεινῶν σαῖς πρεσβείαις, ἡμᾶς τοὺς ἐκτελοῦντας τὴν θείαν μνήμην σου.

Χαίρει καθορῶσα τῷ πνεύματι, ἡ προμήτωρ Εὔα, συμπατούμενον τοῖς ποσί, μάρτυρος Μαρίνης, ὃν δράκοντα δολίως, αὐτὴν τοῦ Παραδείσου ἐφυγαδεύσατο.

Τὴν λαμπάδα πάντες τὴν φαεινήν, καὶ τῆς παρθενίας, τὸ ἀσύλητον θησαυρόν, τὴν νύμφην Κυρίου καὶ ἄσπιλον ἀμνάδα, Μαρίναν τὴν Ἁγίαν πάντες τιμήσωμεν.

Μὴ παύσῃ Μαρίνα, τοῦ Ποιητοῦ, θερμῶς δεομένη, ὑπὲρ πάντων τῶν εὐσεβῶς, σὲ μακαριζόντων, ὡς Μάρτυρα Κυρίου, καὶ πόθῳ γεραιρόντων τὴν θείαν μνήμην σου.

Ἁγίας Αἰκατερίνης.

Τῆς ψυχῆς μου ἐδήλου τὴν καλλονήν, σώματος τὸ κάλλος ἡ σοφία ἡ ἔξω δέ, ἀληθῆ σοφίᾳ, ἣν ἔλαβες θεόθεν, σεπτὴ Αἰκατερίνα, μάρτυς πολύαθλε.

Ἁγίας Ἄννης.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, Ἄνναν τὴν Ἁγίαν, τὴν Προμήτορα τοῦ Χριστοῦ, τὴν ἀξιωθεῖσαν γεννῆσαι τὴν Παρθένον, τὴν μόνην Θεοτόκον καὶ Παναμώμητον.



Ἕτερον τῆς Ἁγίας Ἄννης.

Ζεῦγος ἁγιόλεκτον καὶ σεπτόν, ξυνωρὶς τιμία, οἱ Προπάτορες τοῦ Χριστοῦ εὖχος τῶν δικαίων, Ἰωακεὶμ καὶ Ἄννα, τῶν τὴν ὑμῶν τιμώντων, μνήμην προΐστασθε.

Ἁγίας Βαρβάρας.

Εἰ ὃς ἐνομίζετο σὸς πατήρ, σὲ χερσὶν ἀνεῖλεν, ὁ ἀντίθεος μιαραῖς· ὃν Πατέρα ἔσχες ἀληθινὸν Χριστός σου, ἔχῃς καὶ νῦν ἐν Πόλῳ Βαρβάρᾳ στέφοντα.

Ἁγίας Κυριακῆς.

Τὸν Χριστὸν ποθήσασα ἀληθῶς, ἔσπευσας τεθνᾶναι, καὶ θυσίαν προσενεγκεῖν, σεαυτὴν Ἁγία Κυριακὴ θεόφρον· τοῦτον οὖν ἐκδυσώπει ὑπὲρ τῶν δούλων σου.

Ἁγίας Παρασκευῆς

Λέβητος ραντίσματι φλογερῷ, σβέσασα τὰς κόρας, τοῦ τυράννου Παρασκευή, πρὸς λουτρὸν δροσῶδες, Βαπτίσματι ἐκπέμπεις φωτισαμένη κόρας, ψυχῆς καὶ σώματος.

Ἁγίας Ζώνης.

Ζώνην τὴν ὑπέρτιμον καὶ σεπτήν, πόθῳ σου τιμῶντες, περιζώννυνται οἱ πιστοί, δύναμιν Παρθένε, κατὰ παθῶν ἀτίμων, σώζονται δὲ κινδύνων, κατασπαζόμενοι.

Ἁγίας Εἰρήνης.

Δέησιν προσάγαγε τῷ θεῷ, Εἰρήνη θεόφρον, παρασχεῖν τοῖς ἁμαρτωλοῖς, ἄφεσιν πταισμάτων καὶ δεινῶν σωτηρίαν, τοῖς πίστει θερμοτάτῃ σοὶ καταφεύγουσι.

Εἶτα τὸ Τρισάγιον καὶ τὸ Ἀπολ. Ἦχ. πλ. Α΄.

Τοῦ ἐχθροῦ τὰς ἐνέδρας ρύμῃ διέφυγες, καὶ αὐτῷ προσπλακεῖσα ὑπερηκόντησας, καὶ ἐκ Θεοῦ τὴν δαψιλῆ χάριν ἀπείληφας, ἀποσοβεῖν ἐκ τῶν πιστῶν τὰς νόσους τὰς λυμαινώδεις· διὸ πρέσβευε τῷ Κυρίῳ ὑπὲρ ἡμῶν, Μαρίνα ἔνδοξε.

Ὁ Ἱερεὺς ὡς ἔθος μνημονεύῃ. Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν Προσόμοιον ἦχος β΄.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

"Ότε ἐκ τοῦ ξύλου σε νεκρόν.

Σήμερον ὑμνοῦμεν εὐσεβῶς, Μάρτυς ἀθληφόρε Μαρίνα, σοῦ τὸ ἐκνίκημα, καὶ τὴν θείαν μνήμην σου καὶ εὐκλεῆ ἑορτήν, οἱ ὀρθῶς δογματίζοντες Τριάδα ἁγ αν, καὶ σὲ ἱκε τεύομεν ρῦσαι σοὺς δούλους δεινῶν, νόσων καὶ παντοίων κινδύνων, καὶ τῆς τοῦ ἐχθροῦ τυραννίδος, τοὺς σοὶ προσπελάζοντες ἀοίδιμε.

Τέλος τοῦ παρακλητικοῦ κανόνος τῆς Ἁγίας Μαρίνης.

Μεγαλυνάρια. Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου.

Δεῦτε εὐφημήσωμεν εὐσεβῶς, τὴν ἄμωμον Κόρην, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν τὴν προσαγωμένην ἐν τῷ Ναῷ Κυρίου, αὐτῷ ἑτοιμασθῆναι εἰς οἰκιτήριον.

Εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ.

Ἐκύκλουν ὡς θρόνον χερουβικόν, Ἄγγελοι τὴν φάτνην τὸ γὰρ σπήλαιον Οὐρανόν ἑώρων κειμένου, ἐν αὐτῷ τοῦ Δεσπότου, καὶ Δόξα ἐν Ὑψίστοις Θεῷ ἐκραύγαζον.

Εἰς τὰ Ἅγια Θεοφάνεια.

Εκύκλουν Ἀγγέλων αἱ στρατιαί, τὸ ἐν Ἰορδάνη, βαπτιζόμενον Λυτρωτήν, καὶ τρόμῳ τὸ μέγα, Μυστήριον ἀνύμνου, τῆς τούτου ἀπορρήτου, συγκαταβάσεως

Εἰς τὴν Ἁγίαν Ὑπαπαντήν.

Σήμερον ὡς βρέφος προσφέρεται τοῦ Πατρὸς ὁ Λόγος, ἐκ Παρθένου τῷ Ἱερῷ, καὶ τοῦτον ἀγκάλαις. εἰσδέχεται ὁ Πρέσβυς, ἀπόλυσον με κράζων, Σῶτερ τὸν δοῦλον σου.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.

Εἰς πόλιν ἐπιφθάσας τὴν Ναζαρὲτ, Γαβριὴλ ὁ θεῖος, κατασπάζεταί σε Ἁγνή βοῶν σοι τὸ χαῖρε εὐλογημένη Κόρη, ἐν τῇ γαστρί σου ἕξης Θεὸν σαρκούμενον.

Εἰς την Κυριακὴν τῶν Βαΐων.

Βαΐα καὶ Κλάδους, βαστάζωντες, τοῦ Πατρὸς τὸν Λόγον μεγαλύνωμεν οἱ πιστοί, βοῶντες ἐν ὕμνοις, ὡς οἱ ἄκακοι Παῖδες, ὡσανὰ εὐλογημένος εἶ ὁ ἐρχόμενος



Εἰς τὴν Ἀνάστασιν τοῦ Χριστοῦ.

Κύριε ὁ ἐκ νεκρῶν ἀναστάς, καὶ ἡμᾶς πεσόντας ἀνομήμασι χαλεπῶς, ἀνάστησον πάντας δεόμεθα, Οἰκτίρμον, ὅπως ἀεὶ ὑμνῶμεν, τὴν σὴν Ἀνάστασιν.

Ἐκ τῶν Πνευματικῶν Κήπων.

## 1. Ὁμιλία περὶ Κυριακῆς Ἀργίας.

Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι καὶ μὴ τῇ ἡμέρα τοῦ Σαββάτου. Ἡ Ἁγία ἡμῶν Ἐκκλησία ἐκαθιέρωσεν τὴν ἀργίαν τῆς Κυριακῆς. Ἀφιέρωσεν εἰς ὑμᾶς ὁ Κύριος τὴν ἀργίαν τῆς Κυριακῆς ὡς καταπαύσιμος ἡμέρα ἀπὸ τῶν ἔργων καὶ πρὸς δοξολογίαν καὶ εὐχαριστίαν διὰ νὰ προσφέρωμεν πρὸς τὸν Πλάστην ἡμῶν Θεόν.

Αἱ 10 ἐντολαὶ τὸ Ἱερὸν Εὐαγγέλιον, καθιέρωσαν αὐστηρῶς νὰ τιμῶμεν καὶ νὰ προσφέρωμεν λατρείαν εἰς τὸν Θεόν, ἐν τῷ Ἱερῷ Ναῷ, παρευρισκόμενοι τὴν Κυριακήν. Διότι τὸ λέγει τὸ Στόμα τοῦ Χριστοῦ. Ὅτι ἕξη ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ Σαββάτου.

Εἶναι νόμος αὐστηρὸς τῆς Ἐκκλησίας, ἡ ἀργεία τῆς Κυριακῆς, καὶ ὁ καταφρονῶν θέλει αὐστηρῶς τιμωρηθῆ, διότι τὸ διατάσσει ὁ νομοθέτης, καὶ Δημιουργὸς τοῦ σύμπαντος Θεός. Διότι ὁ καταφρονῶν τὴν Κυριακὴν καταφρονεῖ τὸν Σωτῆρα Θεόν, καὶ ἀντὶ εὐλογίαν λαμβάνει τιμωρίαν, διότι φροντίζει μόνον πρὸς τὸ ὑλικὸν συμφέρον, ἀπομακρυνόμενος τῶν ψυχικῶν καὶ αἰωνίων ἀγαθῶν·

Ὁ ἀγαπῶν τὸν Θεόν, τηρῶν καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ, ὅπου εἶναι μία μεγάλη ἐντολὴ τοῦ Κυρίου, ἡ ἀργία τῆς Κυριακῆς.

Εἶναι ἡμέρα δοξολογίας πρὸς τὸν Θεόν, ἡ Κυριακή, ἡμέρα ἀναπαύσεως τῶν βιωτικῶν ἔργων, μελετῶντες τῶν αἰωνίων ἀγαθῶν. Εἶναι ἡμέρα διὰ νὰ ἀφιερώσωμεν νοῦν καὶ καρδίαν εἰς τὸν πλάστην μας καὶ εὐεργέτην Θεόν

Μὴν ἀτιμάζωμεν τὴν Κυριακήν, διότι θὰ ἀτιμασθῶμεν καὶ θὰ καταφρονεθῶμεν παρὰ τῶν Ἀγγέλων τοῦ Θεοῦ ὡς παραβάται καὶ ἀποστάται τῶν Δεσποτικῶν τοῦ Κυρίου ἐντολῶν καὶ ἀλλοίμονον εἰς τὴν γενεὰν ταύτην. Ἀγαπῶμεν τὸν Θεόν, τιμῶμεν καὶ σεβόμεθα καὶ τὴν Κυριακήν, διότι εἶναι ἡμέρα

ὅπου ἀνεστήθη ὁ ἐξουσιαστὴς τοῦ θανάτου καὶ τῆς ζωῆς μας, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Ἡ Κυριακὴ εἰκονίζει τὴν Δευτέραν τοῦ Κυρίου Παρουσίαν, διότι εἰς αὐτὴν τὴν ἡμέραν θὰ δικασθῶμεν νὰ δώσωμεν ἀπολογίαν τῶν πράξεών μας.

Ἄς προσηλωθῶμεν εἰς τὰ Χριστιανικά μας καθήκοντα ἀποφεύγοντες τὴν κακὴν συνήθειαν, καθὼς διατάσσει ἡ Ἁγία ἡμῶν Ἐκκλησία τὴν ἀργίαν τῆς Κυριακῆς, νὰ δοξολογῶμεν ἐν τοῖς Ἱεροῖς ἡμῶν Ναοῖς τὸν μισθαποδότην ἡμῶν Θεόν. Καθὼς λέγει ὁ θεῖος Δαΰδ. Ἐν Ἐκκλησίαις εὐλογεῖται τὸν Θεόν.

Εἶναι ἀφωρισμένον τὸ ἔργον ὅπου γίνεται τὴν Κυριακὴν εἰς ἡμᾶς τοὺς Ὀρθοδόξους Χριστιανούς, διότι καθιερώθη ἀπὸ κτήσεως κόσμου, ἡ ἀναπαύσιμος αὐτὴ ἡμέρα, καθὼς καὶ ὁ πλάστης ἡμῶν Θεὸς ἀνεπαύθη ἀπὸ τῶν ἔργων αὐτοῦ λέγων. Ὅτι Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι καὶ μὴ τῇ ἡμέρᾳ τοῦ Σαββάτου.

Εἶναι ἀσέβεια μεγάλη εἰς ἡμᾶς τοὺς Χριστιανούς, νὰ σέβωνται οἱ ἑτερόδοξοι τὴν Κυριακήν, καὶ ἡμεῖς νὰ τὴν καταπατοῦμεν, μὲ ὅλας μας τὰς πονηρὰς καὶ κακὰς συνηθείας, ὅπου τελοῦνται ἐν τῇ ἡμετέρᾳ κοινωνίᾳ κατ' αὐτὴν τὴν ἡμέραν, ὅπου ἀντὶ θυσίαν εἰς τὸν θεόν, προσφέρομεν, αἱματοχυσίαις φόνους, καὶ ὅλα τὰ πονηρὰ ἔργα τοῦ διαβόλου, ὅπου τὴν αὐτὴν ἡμέραν ὅπου δοξολογεῖται ὁ θεός, εὑρίσκει καιρόν, καὶ χορεύει ὁ διάβολος. Λοιπὸν τιμὴ καὶ σεβασμὸς εἰς τὴν Κυριακήν, διὰ νὰ τιμηθῶμεν καὶ ἡμεῖς ἀπὸ τὸν Κύριον ἐν τῇ Δευτέρᾳ αὐτοῦ Παρουσίᾳ.

## 2. Λόγος περὶ ἐξομολογήσεως.

Μεγάλον μυστήριον εἶναι ἡ Ἐξομολόγησις καὶ δεύτερον Βάπτισμα. Ἡμάρτησεν ὁ Δαῦδ, καὶ ὁ Θεὸς τὸν ἐσυγχώρησεν διὰ μέσου τοῦ Προφήτου Νάθαν, ἀφεῖλε ὁ Κύριος τὰ ἁμαρτήματά σου οὐ μὴ ἀποθάνεις.

Ὁ Ἀπόστολος Ἰάκωβος λέγει. Ἐξομολογεῖσθε ἀλλήλους τὰ παραπτώματα ὑμῶν καὶ εὔχεσθαι ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε. Λέγει ὁ Κύριος εἰς τοὺς Μαθητάς του. Λάβετε Πνεῦμα Ἅγιον ἄντινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς ἄντινων κρατεῖτε κεκράτηνται. Ὁ Δαβὶδ λέγει.

Μὴ παραδώσῃς τοῖς θηρίοις, ψυχὴν ἐξομολογουμένην σοι. Εἰς τὰς πράξεις τῶν Ἀποστόλων. Πολλοὶ δὲ τῶν πιστευσάν-



των ἤρχοντο καὶ ἐξομολογοῦντο τὰς ἁμαρτίας των ἀναγγέλοντες εἰς τοὺς Ἀποστόλους. Ἤρχοντο καὶ εἰς τὸν Βαπτιστὴν Ἰωάννην καὶ ἐξομολογοῦντο διὰ τὴν ἀρετήν του.

Ὁ Ἅγιος Γρηγόριος ὁ Θεολόγος λέγει. Μὴ κρίνεις ἀναξίαν τὴν Ἐξομολόγησιν, διότι εἶναι ἔργον ψυχωσωτήριον, καὶ ἐὰν ἀμελήσῃς μέλλεις αὐστηρῶς νὰ τιμωρηθῇς ὑπὸ τῆς θείας δικαιοσύνης. Ὁ Ἅγιος Κύριλλος λέγει.

Ἂν ὁ νοῦς τοῦ ἀνθρώπου ἀποθάνῃ ὡς ὁ Λάζαρος, πρέπει μὲ τὴν Ἐξομολόγησιν νὰ τὸν ἀναστήσῃς. Ὁ Ἅγιος Γρηγόριος ὁ Νύσσης ἔγραψε ἐπιστολὴν περὶ Ἐξομολογήσεως πῶς δυνάμεθα νὰ εὕρωμεν πολλοὺς τρόπους διὰ νὰ διορθώσομεν τοὺς μετανοοῦντας, διότι εἶναι ἀδύνατον, ὁ ἄνθρωπος ἄνευ τοῦ μυστηρίου τῆς Ἐξομολογήσεως νὰ συγχωρεθοῦν αἱ ἁμαρτίαι του.

Λέγει ὁ Θεῖος Χρυσόστομος. Ὅταν ἀσκέπτως προσέρχεσαι εἰς τὴν Ἐξομολόγησιν ἁμαρτωλὸς πηγαίνεις καὶ ἁμαρτωλότερος ἐπιστρέφεις, διότι 2 Κριτήρια ἔχει ὁ Θεὸς τὸ 1 εἶναι εἰς τὴν γῆν ὅπου εἶναι ὁ Ἱερεύς, ἔχων τὴν ἐξουσίαν συγχωρεῖν ἁμαρτίαις, καὶ τὸ 2 εἰς τὸν Οὐρανὸν ἐν τῇ Δευτέρᾳ αὐτοῦ Παρουσίᾳ, ὅπου εἶναι Κριτὴς καὶ Δικαστὴς χωρὶς ἔλεος ὁ Θεός, διότι ἐδῶ συγχωρεῖσαι καὶ ἐκεῖ αἰωνίως θὰ τιμωρεῖσαι. Ἐν τῷ Ἅδη οὐκ ἔστι Μετάνοια. Λέγει ὁ Κύριος εἰς τὸν Παραλυτικόν. Τέκνον ἀφέωνταί σου αἱ ἁμαρτίαι σου. Λέγει ὁ Θεῖος Χρυσόστομος. Ὅταν δὲν Ἐξομολογεῖσαι εἰς τὴν παροῦσαν ζωήν, νὰ καθαρίσῃς τὰς ἁμαρτίας σου πηγαίνεις καταφρονεμένος εἰς τὴν αἰώνιον Κόλασιν.

Ὁ Μέγας Βασίλειος λέγει εἰς τὸν πδ' 84 κανόνα. Ἐπὶ πᾶσιν ὁ τρόπος τῆς Μετανοίας, ἀλλὰ μὴ ὁ χρόνος δοκιμαζέσθω.

Τὸ Ἱερὸν Εὐαγγέλιον λέγει. Τὸ Πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἄλαλος διατὶ δὲν ἐξομολογεῖτε, κωφὸς διότι δὲν ἀκούει συμβουλὰς νὰ διορθωθῇ. Ἆρον τὸν κράββατόν σου καὶ περιπάτει ἴδε ὑγιὴς γέγονας, λέγει ὁ Κύριος διὰ τοὺς Ἐξομολογουμένους. Ὁ Ἀδὰμ καὶ ὁ Κάϊν ἔκρυψαν τὴν ἁμαρτίαν καὶ ἐκολάσθησαν, καθὼς καὶ ὁ προδότης Ἰούδας ἐκατεδικάσθη, διότι δὲν ἐξομολογήθη, νὰ εἴπῃ τὸ ἥμαρτον, καὶ ἐτιμωρήθη αὐστηρῶς ὑπὸ τῆς θείας δικαιοσύνης. Ἐγεννήθη Ἰουδαῖα ἁγίασμα θεοῦ. Ἰουδαῖα εἶναι πᾶσα ψυχὴ ἀνθρώπου ἐξομολογουμένη, εἶναι ἁγίασμα καὶ οἶκος Θεοῦ.

## 3. Ὁμιλία περὶ μίσους καὶ ζήλου.

Ζῆλος καὶ φθόνος ἐλαττοῦσιν ἡμέρας, μὴ μισῇς ἀλλὰ μᾶλλον νὰ διδάσκῃς. Ὅπου εἶναι ζῆλος καὶ φθόνος, ἐκεῖ εἶναι ἀσέβεια εἰς τὸν θεόν. Μεγάλον κακὸν εἶναι ὁ φθόνος. Οὐδὲν ἄλλο ἀθλιώτερον καὶ ἀπανθρωπότερον, ἀπὸ τὸν ἄνθρωπον ἐκεῖνον τὸν ἔχοντα εἰς τὴν καρδίαν του τὸν φθόνον. Μὴ ζηλεύῃ ἡ καρδία σου, τὴν εὐτυχίαν τοῦ ἀδελφοῦ σου, διότι θὰ σὲ μισίσῃ ὁ Θεός, διὰ τὰς πονηρὰς πράξεις σου. Μὴ ζηλεύῃς τὴν δόξαν τῶν ἀνθρώπων μ μήσου τὰ ἔργα αὐτῶν. Λύπη γὰρ ἐστὶ τῆς τοῦ πλησίον εὐπραγίας ὁ φθόνος, ψυχῆς πονηρᾶς δυσσεβὴς παραστάτης. Ὁ φθόνος εἶναι ρίζα πάντων τῶν κακῶν, διότι ὁ φθονερὸς ἄνθρωπος, πολέμιος καθίσταται. Φίλον τὸν εὐτυχοῦντα ἄνευ φθόνου σέβειν. Ὁ φθόνος κάμη τὸν ἄνθρωπον φθισικόν. Ὁ φθόνος σκωτίζει τὸν ἄνθρωπον, καὶ τὸν παρακινεῖ ὁ πονηρὸς εἰς τὸ κακόν. Φθόνος γὰρ οὐκ οἶδε προτιμῶν τὸ συμφέρον.

## 4. Ὁμιλία περὶ Ἱερωσύνης

Ἱερέως ψυχὴν εἶναι δεῖ τῶν ἀκτίνων καθαρωτέραν. Ἱερεὺς τὴν κοινὴν φροντίδα πεπιστευμένος, ὡς ὀφείλων λόγον δοῦναι, περὶ ἑκάστου ἐν ἡμέρᾳ κρίσεως. Ρύεται ψυχὰς ἐκ θανάτου σοφὸς Ἱερεύς. Οἱ Ἱερεῖς ἐν ρομφαίᾳ ἔπεσον. Οὐαὶ τοὺς ὑβρίζοντας καὶ κατηγοροῦντας τὴν Ἱερωσύνην, ἀποστρέψει Κύριος τὸ πρόσωπον ἀπὸ αὐτούς, καὶ θα τοὺς παραδώσῃ εἰς μεγάλας τιμωρίας λέγει ὁ Θεός. Σύνετε Ἱερεῖς ποιμένες Θεοῦ τοῦ ὑψίστου. Οἱ καλῶς ποιμένοντες Ἱερεῖς, θέλουσι ἀξιωθοῦν μεγάλας τιμὰς ἐν τῇ Δευτέρᾳ Παρουσίᾳ, καὶ θὰ ἀκούσουν ἀπὸ τὸν Κύριον λέγοντες. Ἄξιοι οἱ ἐργάται τοῦ λογικοῦ ποιμνίου, καὶ θὰ λάβουν τὸν Οὐράνιον μισθόν. Ἀμήν.

## 5 Λόγος περὶ Νηστείας καὶ Προσευχῆς.

Ἡ νηστεία καὶ Προσευχὴ εἶνε 2 μεγάλαι ἀρεταὶ τοῦ Χριστιανοῦ

Ἡ νηστεία εἶναι φωτισμὸς τῆς ψυχῆς, καὶ ἐγκράτεια τοῦ σώματος. Ἡ νηστεία καὶ προσευχὴ εἶναι μάχαιρα δίστομος τοῦ εὐσεβοῦς Χριστιανοῦ. Ἡ νηστεία εἶναι Δεσποτική, καὶ πρώτη τοῦ Κυρίου ἐντολή.

Ἡ νηστεία εἶνε θεϊκὸν δῶρον, διότι τὴν ἐτίμησεν ὁ Κύριος ἡμῶν ἐν τῇ ἐρήμῳ πειραζόμενος ὑπὸ τοῦ διαβόλου· Ἡ νηστεία



εἶνε ἡ μεγαλειτέρα τροφὴ τῆς ψυχῆς, συνοδευομένη μὲ τὴν Προσευχὴν καὶ τὴν ἐλεημοσύνην. Ἡ προσευχὴ καὶ νηστεία καταπραΰνη τοὺς κακοὺς λογισμοὺς καὶ φωτίζει τὸν νοῦν τοῦ ἀνθρώπου. Διὰ τῆς νηστείας οἱ 3 Παῖδες καὶ Δανιὴλ εἶδον τὸν Θεὸν ὡς κριτὴν καθεζόμενον. Διὰ τῆς νηστείας ἀνέστησεν ὁ Προφήτης Ἠλίας τὸν Υἱὸν τῆς χήρας. Διὰ τῆς νηστείας ἀνέστησεν ὁ Προφήτης Ἐλισσαῖος τὸν υἱὸν τῆς Σαμωνίτιδος. Διά τῆς νηστείας ὁ Θεόπτης Μωϋσῆς εἶδε τὸν Θεὸν καὶ ἔλαβε τὰς θεογράφους πλάκας τοῦ νόμου. Καθὼς καὶ πολλοὶ Ἅγιοι ἐτίμησαν μεγάλως τὴν νηστείαν ζῶντες μὲ χόρτα καὶ λάχανα -ῆς γῆς. Ἡ χώρα Νινευΐ κατεστράφη διότι ἀπεστάτησαν οἱ Νινευῖται καὶ δὲν ἐτίμησαν τὴν νηστείαν.

Ἡ νηστεία εἶναι κανονισμένη ἀπὸ τὸν νομοθέτην Χριστόν, καὶ μετὰ τὴν ἐκύρωσαν αἱ κατὰ καιρὸν Σύνοδοι, καὶ Θεῖοι Ἀπόστολ ι φωτισθέντες ἐκ Πνεύματος Ἁγίου. Διὰ τὴνπαρακοὴν τῆς νηστείας ἐξώρισεν ὁ Θε ς τὸν Ἀδὰμ ἀπὸ τὸν Παράδεισον. Ὅπου εἶναι ἡ Προσευχὴ καὶ νηστεία, ἐκεῖ κατοικεῖ καὶ ἡ θεία χάρις. Ἀγαπᾶς τὴν νηστείαν, θὰ ἀγαπηθῇς παρὰ τῶν Ἀγγέλων τοῦ Θεοῦ Ἡ προσευχὴ καὶ νηστεία μᾶς χωρίζει ἀπὸ τὰ ἄλογα ζῶα, καὶ μᾶς κάμη μετέχους τῆς Οὐρανῶν Βασιλείας. Οὐδεὶς πολυφάγος ἔγεινεν ἀσκητ ς, οὐδε ς μέθυσος ἔγεινεν φιλόσοφος, οὐδεὶς φιλήδονος ἔγεινεν Ἅγιος καὶ οὐδεὶς σαρκικὸς ἔγε νεν μέτοχος τῆς βασιλείας τῶν Οὐρανῶν. Ἡ Προσευχὴ καὶ νηστεία εἶναι 2 Ἀδελφαὶ συνδεδεμέναι, καθὼς λέγει τὸ Ἱερὸν Εὐαγγέλιον. Τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται, εἰμὴ ἐν Προσευχῇ καὶ νηστείᾳ. Ἡ νηστεία εἶναι τὸ φυλακτήριον τῆς ψυχῆς τοῦ ἀνθρώπου, εἶναι τοῦ σώματος ὑγεία, τῆς πόλεως τιμὴ καὶ δόξα, καὶ ἀγάπη πρὸς τὸν Θεόν. Νηστεία εὐπρόσδεκτος καθαρά, περιορισμοῦ γλώσσης, καὶ πάσης κακίας ἀποχὴ πάντων τῶν πονηρῶν ἔργων, ἀγαπᾶ ὁ Θεός.

Ἡ νηστεία καὶ Προσευχὴ εἶναι 2 ἐντολαὶ τοῦ Θεοῦ, καὶ ὅσοι παραβαίνουν, θὰ τιμωρηθοῦν ὑπὸ τῆς θείας δικαιοσύνης. Διότι φροντίζουν τὰ τοῦ σώματος καὶ ἀμελοῦν τὰ χριστιανικά τους καθήκοντα τῆς ψ χῆς, τρώγουν μόνον νὰ ζοῦν καὶ ὄχι χάριν τοῦ τρώγειν νὰ ζῶσιν. Κανένα πρᾶγμα δὲν σκωτίζει τὸν νοῦν τοῦ ἀνθρώπου ὅσον ἡ πολυφαγία, κανένα πρᾶγμα δὸν φωτίζει τὸν νοῦν τοῦ ἀνθρώπου ὅσον ἡ Προσευχή. Διὰ τῆς Προσευχῆς κυβερνᾶ ὁ ἄνθρωπος ὅλην του τὴν ζωήν, καὶ διὰ τῆς

νηστείας λαμβάνουν οἱ Ἄγγελοι ἀναφορὰν καὶ τὴν προσφέρουν εἰς τὸν Θεόν. Ἡ προσευχὴ καὶ νηστεία εἶναι 2 Πτέρυγες διὰ νὰ εἰσέλθωμεν εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Οἱ 2 Πύργοι, οἱ 2 φωστῆρες τῆς οἰκουμένης, οἱ 2 Ἀπόστολοι Πέτρος καὶ Παῦλος, ἔφυγον ἀπὸ τὸ δεσμωτήριον, ἐσύντριψαν τὰ σίδερα, ὡς λέοντες, ἔσεισαν ὅλον τὸ δεσμωτήριον εἰς τὴν Μακεδονίαν, καὶ ἐδίωξαν διὰτῆςΠροσευχῆς των πολλὰ κακὰ ὅπου τοὺς συνέβησαν, καὶ ἔλαβον μεγάλην χάριν, πάσης γῆς καὶ θαλάσσης οἱ θεῖοι οὗτοι κορυφαῖοι Ἀπόστολοι ἐν Οὐρανῷ καὶ ἐν τῇ γῇ. Λέγει ὁ θεῖος Χρισόστομος. Οὐράνιος πανωπλία εἶναι ἡ Προσευχή, καὶ φυλάτει τοὺς ἀληθῶς εἰς τὸνΧριστὸν πιστεύοντας. Ὁ Ἀπόστολος Παῦλος λέγει. Ἀδιαλείπτως προσεύχεσθαι ἐνπαντὶ εὐχαριστεῖται. Ὁ Κύριος ἡμῶν. Γρηγορεῖται ἢ (ἀγρυπνεῖτε) καὶ προσεύχεσθαι ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλοντα γενέσθω. Ἂς ἱκετεύσωμεν τὸν Θεόν, ἵνα διὰ τῆς καθαρᾶς Προσευχῆς, καὶ εἰλικρινοῦς νηστείας, φυλάξωμεν τὸ σῶμά μας ἀπὸ πονηροὺς καὶ αἰσχροὺς λογισμοὺς διὰ νὰ ἀξιωθῶμεν τῆς Βασιλείας τῶν Οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ γένοιτο. Ἀμήν.

Βίος καὶ Μαρτύριον τῆς Ἁγίας Μαρίνας.

---

## ΒΙΟΣ ΚΑΙ ΜΑΡΤΥΡΙΟΝ
# ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΙΝΑΣ

*(ἧς τὴν μνήμην ἐπιτελοῦμεν κατ' ἔτος τὴν 17 Ἰουλίου)*

Ἡ μακαρία αὕτη καὶ καλλιπάρθενος κόρη ἦτον ἀπὸ τὴν Ἀντιόχειαν τῆς Πισιδίας γεννηθεῖσα ἀπὸ γονεῖς περιφανεῖς κατὰ τοὺς χρόνους τοῦ Αὐτοκράτορος Διοκλητιανοῦ (α). Ὁ πατὴρ αὐτῆς Αἰδέσιος καλούμενος, ἦτον ἱερεὺς τῶν εἰδώλων ἐπίσημος, ὅθεν καὶ τὸν ἐσέβετο ὅλη ἐκείνη ἡ πόλις. Ἡ παρθένος αὕτη ἦτο μονογενὴς θυγάτηρ, μείνασα ὀρφανὴ ἀπὸ μητέρα ὀλίγας ἡμέρας μὲ τὴν γέννησίν της. Ἕνεκα τούτου ὁ πατήρ της ἠναγκάσθη νὰ δώσῃ αὐτὴν τότε βρέφος οὖσαν εἰς μίαν γυναῖκα

(α) Κατὰ τὸν πολυμαθῆ διορθωτὴν τοῦ μεγάλου Ὡρολογίου κ.τ.λ. Βαρθολομαῖον Κουτλουμουσιανὸν Ἴμβριον, ἡ ἁγία Μαρίνα ὑπῆρξεν ἐν τοῖς χρόνοις Κλαυδίου. Εἶναι δὲ τοῦτο ὀρθότερον, ὡς συμφωνοῦν καὶ μὲ τὴν ἐποχὴν τῆς ἀποκεφαλίσεως αὐτῆς, συμβάσης κατὰ τὸ 270 Σωτήριον ἔτος, ἐνῷ ὁ Διοκλητιανὸς ἦρξε 14 ἔτη μετὰ τὸ γεγονὸς τοῦτο.



διὰ νὰ τὴν βυζαίνῃ, καὶ ἡ ὁποία ἐκατοίκει τρία τέταρτα τῆς
ὥρας μακρὰν ἀπὸ τὴν πόλιν ἐκείνην τῆς Ἀντιοχείας. Ἴσως δὲ
τοῦτο ἔγινε κατὰ θείαν οἰκονομίαν, διότι εἰς τὸ μέρος ἐκεῖνο
ἐκατοίκουν καὶ ἄλλοι χριστιανοί. Ὅταν λοιπὸν αὐτὴ ἐμεγάλω-
σεν ὀλίγον, καὶ ἤρχισε νὰ συνδιαλέγηται μετ' ἄλλων, ἤκουεν
ἀπὸ καιροῦ εἰς καιρὸν νὰ διηγῶνται εἰς αὐτὴν τινὲς ἐκ τῶν
Χριστιανῶν ἐκείνων ὅτι ὁ Χριστὸς εἶναι Θεὸς αἰώνιος, ἀγαθὸς
καὶ πολυεύσπλαγχνος· ὅτι αὐτὸς διὰ τὴν σωτηρίαν τῶν ἀν-
θρώπων κατεδέχθη νὰ γείνῃ ἄνθρωπος· ὅτι ἔπαθε καὶ ἐσταυ-
ρώθη ἑκουσίως, καὶ ὅτι μετὰ τρεῖς ἡμέρας ἀνέστη ἐνδόξως καὶ
ἀνελθὼν εἰς τοὺς οὐρανοὺς ἐκάθησεν ἐκ δεξιῶν τοῦ Πατρὸς αὐ-
τοῦ, εὐεργετήσας διὰ τῆς αὐταπαρνήσεώς του αὐτῆς τὴν ἀνθρω-
πότητα.

Ἡ Μαρίνα οὖσα ἐκ φύσεως προικισμένη μὲ ψυχὴν ἀγαθὴν
καὶ καλὴν προαίρεσιν, ἤκουε μετ' εὐχαριστήσεως τοὺς σωτηρί
ους ἐκείνους λόγους, καὶ τοὺς ἐφύλαττεν ἐν τῇ καρδίᾳ αὐτῆς.
Οἱ λόγοι λοιπὸν αὐτοὶ διὰ θείας συνεργείας καὶ χάριτος ἐβλά-
στησαν μὲ τὸν καιρὸν καὶ ἀπέδωκαν ἑκατονταπλάσιον καρπὸν
καθὼς ὁ καλὸς σπόρος, ὁ ὁποῖος πίπτει εἰς γῆν παχεῖαν, διότι
ὅσον ἡ ἀγαθὴ αὕτη κόρη προώδευε κατὰ τὴν σωματικὴν ἡλι-
κίαν, τοσοῦτον ηὔξανε καὶ ἡ γνῶσις καὶ ἡ φρόνησις αὐτῆς, καὶ
ἡ καρδία της ἐφλογίζετο ἀπὸ τὸν πόθον τῆς εἰς τὸν Χριστὸν
πίστεως, πρὸς τὸν ὁποῖον προσηύχετο καθ' ἡμέραν νὰ τὴν ἀ-
ξιώσῃ νὰ μιμηθῇ τοὺς μαρτυρήσαντας δι' αὐτόν, καὶ νὰ ὑπάγῃ
ἐκεῖ ὅπου ὑπῆγαν καὶ αὐτοί. Καὶ ὄχι μόνον ἐν τῇ διανοίᾳ της
ἐμελέτα τοιαῦτα, ἀλλὰ καὶ παρρησίᾳ ὡμολόγει εἰς πάντας
ὅτι ἦτον Χριστιανὴ καὶ ὕβριζε τὰ εἴδωλα. Διὰ ταῦτα καὶ ὁ
ψευδώνυμος πατὴρ αὐτῆς, ὁ ἀναιδὴς Αἰδέσιος τὴν ἐμίσησεν ἀπὸ
ψυχῆς, ἅμα ἤκουσε τὴν ὁμολογίαν αὐτῆς καὶ δὲν ἤθελε κἂν νὰ
τὴν ἀντικρύσῃ κατὰ πρόσωπον· ἀλλὰ τὴν ἐδίωξε καὶ τὴν ἀπε-
ξένωσε τῆς πατρικῆς περιουσίας. Ὅσον ὅμως τὴν ἀπεστρέφετο
ὁ σαρκικὸς καὶ γήϊνος αὐτῆς πατήρ, τοσοῦτον ὁ οὐράνιος καὶ
αἰώνιος τὴν ἐνηγκαλίζετο. Διὰ τοῦτο καὶ αὐτὴ ἠγάπα αὐτὸν
ἐξ ὅλης καρδίας, καὶ ὅσους ἔβλεπεν ὅτι τοὺς ἐφόνευον διὰ τὸ
ὄνομά του ἢ τοὺς ἔδερνον καὶ τοὺς ἐβασάνιζον, αὐτὴ τοὺς ἐσέ-
βετο καὶ ἐλυπεῖτο διὰ τὰ παθήματα καὶ τοὺς πόνους αὐτῶν.
Δὲν εὐχαριστεῖτο δὲ μόνον μὲ τὸν νοῦν καὶ μὲ τὸν λόγον νὰ
πιστεύσῃ εἰς τὸν Χριστόν, ἀλλὰ ἐπεθύμει νὰ τὸν δοξάσῃ καὶ μὲ

τὰ ἔργα· ἤγουν νὰ βασανισ4ῇ καὶ αὐτή, καὶ νὰ δοκιμασθῇ εἰς τὴν πίστιν, διὰ νὰ συνδοξασθῇ εἰς τὴν βασιλείαν αὐτοῦ μετὰ τῶν ἄλλων μαρτύρων. Ὁ πόθος της λοιπὸν αὐτὸς ἐπραγματοποιήθη, κατὰ θείαν οἰκονομίαν, ὡς θέλομεν ἴδει ἀκολούθως.

Κατὰ τὴν ἐποχὴν ἐκείνην ὑπῆρχεν εἰς τὴν Ἀνατολὴν εἷς Ἔπαρχος, Ὀλύβριος ὀνομαζόμενος, ὅστις ἦτον ἄνθρωπος θηριώδης καὶ σκληροκάρδιος. Αὐτὸς εἶχε κινήσει ἀπὸ τὰ μέρη τῆς Ἀσίας, καὶ ἤρχετο εἰς τὴν Ἀντιόχειαν, ἔτυχε δὲ ἐκ περιστάσεως νὰ ἀπαντήσῃ καθ' ὁδὸν τὴν παρθενον Μαρίναν, ἡ ὁποία ὑπήγαινεν εἰς τὸ ποίμνιον τοῦ πατρός της. Ἰδὼν λοιπὸν αὐτὴν ὁ ἀσεβὴς ἐκεῖνος Ἔπαρχος ἔμεινεν ἐκστατικὸς ἀπὸ τὸ ὑπερβολικὸν αὐτῆς κάλλος καὶ τὴν ἐξαισίαν ὡραιότητα, καὶ τοσοῦτον ἐκυριεύθη ἀπὸ σαρκικὸν πρὸς αὐτὴν ἔρωτα, ὥστε συνέλαβε τὴν ἰδέαν ὁ ἄνομος νὰ τὴν πάρῃ ὡς σύζυγόν του· ὅθεν ἐπρόσταξεν ἀμέσως νὰ τὴν φέρωσιν εἰς τὸ δικαστήριον. Ἐν ᾧ λοιπὸν τὴν ὑπήγαινον εἰς τὸ μέρος αὐτό, ἐκείνη προσηύχετο καθ' ὁδὸν ἐπικαλουμένη τὸν Κύριον νὰ τῆς δώσῃ σύνεσιν καὶ δύναμιν νὰ φυλάξῃ μέχρι τέλους τὴν πρὸς τὸν Θεὸν ἀφοσίωσιν αὐτῆς· νὰ νικήσῃ δὴ ὅλας τὰς τιμωρίας καὶ τὰς βασάνους διὰ νὰ ἀξιωθῇ τοῦ στεφάνου τῶν Ἁγίων Μαρτύρων.

Φθάσαντες λοιπὸν εἰς τὸ παλάτιον, ὁ Ἄρχων τὴν ἠρώτησε πῶς ὠνομάζετο, πόθεν ἦτον, καὶ ποίαν θρησκείαν λατρεύει. Αὐτὴ δὲ ἀπεκρίθη πρὸς αὐτὸν τολμηρῶς καὶ τοῦ εἶπεν.—Ὀνομάζομαι Μαρίνα, εἶμαι τέκνον ἐλευθέρων γονέων καὶ εὔχομαι νὰ ἀξιωθῶ νὰ γείνω δούλη τοῦ Κυρίου καὶ Σωτῆρός μου Ἰησοῦ Χριστοῦ, τοῦ ποιήσαντος ὅλον τὸν κόσμον.—Ὅσοι εὑρέθησαν τότε ἐκεῖ ἐθαύμασαν βλέποντες τὴν τόσην ὡραιότητα αὐτῆς καὶ ἠπόροεν διὰ τὴν τολμηρὰν αὐτῆς ἀπόκρισιν. Τὴν ἐφυλάκισαν λοιπὸν μέχρι τῆς ἄλλης ἡμέρας, κατὰ τὴν ὁποίαν ἐπειδὴ εἶχον δημοσίαν ἑορτήν, ἐχρεώστουν ὅλοι νὰ ὑπάγωσιν εἰς τὴν θυσίαν. Ὅταν λοιπὸν ἔφθασεν ἡ προσδιωρισμένη ὥρα διὰ νὰ θυσιάσωσιν εἰς τὰ εἴδωλά των, ἔφεραν καὶ τὴν Ἁγίαν ἐκεῖ ἐλπίζοντες ὅτι θὰ θυσιάσῃ καὶ αὐτὴ ὅταν ἴδῃ τοὺς ἄλλους θυσιάζοντας. Ἀλλὰ ματαίως ἐσκέφθησαν οἱ ἄφρονες, διότι ἐκείνη οὔτε εἰς τὰς κολακείας των οὔτε καὶ εἰς τὰς ὑποσχέσεις των ἐπίστευεν, ἀλλ' οὔτε καὶ τὰς ἀπειλὰς τοῦ Ἄρχοντος ἐφοβήθη. Μάλιστα δὲ ἀπεκρίθη πρὸς αὐτὸν μὲ πολλὴν τόλμην καὶ παρρησίαν εἰποῦσα.—Μὴ ἐλπίσῃς ματαίως Ἡγεμὼν, ὅτι θὰ δυνηθῇς μὲ τὰς τιμωρίας καὶ τὰς βασάνους νὰ μὲ χωρίσῃς ἀπὸ τὸν



Χριστόν! Ναί, οὔτε ἡ θλῖψις, ὁ λοιμός, τὸ πῦρ. τὸ ξίφος, ἢ ἄλλη σκληροτέρα βάσανος, οὔτε καὶ βίαιος καὶ πολυώδυνος θάνατος· ἀλλ' οὔτε πάλιν αἱ ἀπολαύσεις, πλοῦτος, τιμαὶ καὶ δόξαι θὰ μὲ δελεάσωσι, διότι πάντα ταῦτα εἶναι φθαρτὰ καὶ πρόσκαιρα, ἐνῷ ἡ ψυχὴ εἶναι ἀθάνατος, καὶ αὐτὴ ἐπιποθεῖ πάντοτε τὰ αἰώνια καὶ ἄφθαρτα. Διὰ τοῦτο ἡμεῖς οἱ Χριστιανοί, σκεπτόμενοι φρονίμως, καταφρονοῦμεν πάντοτε τάς ἐπιγείους ἀπολαύσεις ὡς προσωρινάς καὶ προσκαίρους, ὑπομένομεν δὲ τας ἐφημέρους θλίψεις καὶ τάς ὠδύνας, ἐλπίζοντες μετά θάνατον νά ἀπολαύσωμεν ζωὴν αἰώνιον καὶ ἀθάνατον, καὶ ἂν νομίζῃς ὅτι ψεύδομαι, ἰδοὺ εἶμαι ἐδῶ καὶ δοκίμασόν με καὶ θά γνωρίσῃς τὴν ἀλήθειαν. Λοιπὸν δεῖρε, σφάξε, κατάκαυσε, πνῖξε καὶ παίδευσε μέ παντοῖα καὶ ἄπειρα βασανιστήρια, καὶ ὅσον σκληρότερα θά μὲ βασανίσῃς, τόσον περισσότερον ἐλπίζω νά μὲ δοξάσῃ ὁ Χριστὸς εἰς τὴν μέλλουσαν ζωὴν καὶ μακαριότητα. Πολλάκις μάλιστα αὐτὸς μᾶς δίδει καὶ ἀπ' ἐδῶ ἀκόμη μικράν παρηγορίαν ὡς ἀρραβῶνα τῆς μελλούσης ἀγαλλιάσεως, καὶ μᾶς ἐκβάλλει ἀπὸ τὸν βυθὸν τῆς θαλάσσης· σᾶς λυτρώνει ἀπὸ τὸ πῦρ καὶ ἄλλας κολάσεις διά νά σᾶς κανεσχύνῃ καὶ κατακρίνῃ. Δὲν λυποῦμαι λοιπὸν ζωὴν πρόσκαιρον, ἀλλά παραδίδω προθύμως τὸ σῶμά μου εἰς θάνατον διά τόν ἀθάνατον Θεὸν τὸν Δεσπότην μου, καθὼς καὶ αὐτός ἀναμαρτήτως διά τὴν ἡμετέραν ἀγάπην σταυρώθη.

Αὐτὰ καὶ ἄλλα πολλὰ ἀκούσας ὁ τύραννος ἐπληρώθη ἡ διεστραμμένη καρδία του ἀπὸ θυμὸν καὶ ὀργὴν σφοδράν. Πλὴν ἐλπίζων ἀκόμη ὅτι ἠδύνατο νὰ τὴν δελεάσῃ ὡς γυναῖκα ἁπλῆν καὶ ἀπονήρευτον, δὲν ἐφανέρωσε τὸν θυμόν του, ἀλλὰ τὴν ἐκολάκευε λέγων πρὸς αὐτήν.—Παρακαλῶ σε Μαρίνα, προσκύνησον τοὺς θεοὺς διὰ νὰ λυτρωθῇς ἀπὸ δεινὰ κολαστήρια· σοῦ ὑπόσχομαι δὲ νὰ σὲ πάρω ὡς σύζυγόν μου, νὰ δοξασθῇς ἀπὸ ὅλας τὰς ἄλλας γυναῖκας τῆς πόλεως καὶ νὰ ἔχῃς πᾶσαν ἀπόλαυσιν. Τοιαῦτα καὶ ἄλλα παρόμοια φλυαροῦντος τοῦ Ὀλυβρίου πρὸς τὴν παρθένον Μαρίναν, εἰς μάτην ἐπερίμενεν ἀπάντησίν της. Διὸ νομίσας ὡς ὕβριν καὶ περιφρόνησιν την σιωπὴν αὐτῆς, δὲν ἠδυνήθη πλέον νὰ κρατήσῃ τὴν ὀργὴν καὶ τὴν ἀγανάκτησίν του, ἀλλ' ἀμέσως ἐπρόσταξε τοὺς στρατιώτας αὐτοῦ νὰ τὴν ξεγυμνώσωσι καὶ νὰ τὴν δέρνωσι ἀνηλεῶς μὲ ῥάβδους ἀκανθωτάς. Τόσον δὲ ἀσπλάγχνως τὴν ἔδειραν, ὥστε κατέσχισαν τὰς σάρκας

της καὶ ἐκοκκίνησεν ἡ γῆ ἀπὸ τὸ αἷμα, τὸ ὁποῖον ἔρρεεν ἀπὸ τὰς πληγάς της. Ἡ δὲ μάρτυς ὑπέμεινεν ἀνδρείως ὅλους αὐτοὺς τοὺς πόνους καὶ οὔτε ἀνεστέναξεν, οὐδὲ ἐδάκρυσεν ἀλλ' οὔτε καὶ ἐσκυθρώπασε κἂν διὰ τὰς τιμωρίας αὐτάς· ἀλλ' ὡς νὰ μὴ ἔπασχε ποσῶς ἵστατο ἀκίνητος, καὶ μόνον τοὺς ὀφθαλμοὺς ἠτένιζε πρὸς τὸν οὐρανόν, καὶ ἐπεκαλεῖτο νεαρῶς τὸν Θεὸν εἰς βοήθειαν αὐτῆς.

Ἀφοῦ λοιπὸν τὴν ἔδειραν οὕτως ἐπὶ πολλὴν ὥραν, ἐπρόσταξεν ὁ Ὀλύβριος νὰ τὴν φυλακίσωσιν, ὄχι διότι συνεκινήθη ἀπὸ τὴν ἐλεεινὴν κατάστασιν αὐτῆς, ἀλλὰ διότι ἐπεθύμει ἔτι ὁ ἀλιτήριος νὰ τὴν βασανίσῃ καὶ ἐκ δευτέρου καὶ διὰ τοῦτο δὲν ἐπέτρεψε τότε, νὰ τὴν ἀποτελειώσωσι διὰ τῆς μαστιγώσεως.

Την ἐφύλαξαν λοιπὸν κεκλεισμένην εἰς τόπον τινὰ σκοτεινότατον καὶ ἀπρόσιτον. Μετὰ παρέλευσιν δὲ ὀλίγων ἡμερῶν τὴν ἔφεραν πάλιν εἰς τὸ δικαστήριον, ὅπου κρεμάσαντες αὐτὴν κατεξέσχιζον τὰς σάρκας της μὲ σιδηροῦς ὄνυχας. Τόσον δὲ πολὺ τὴν κατεξέσχισαν, ὥστε τὸ σῶμα αὐτῆς μετεβλήθη ὅλως διόλου ἀπὸ ὡραῖον εἰς ἄμορφον καὶ ἄχρηστον Καὶ ὄχι μόνον ὁ κοινὸς λαὸς ἐλυπήθη καὶ ἐδάκρυσε βλέπων τὰς πληγὰς αὐτῆς καὶ τὴν ἐλεεινότητα τοῦ σώματός της ἀλλὰ καὶ αὐτὸς ὁ θηριώδης βασανιστὴς αὐτῆς δὲν ἠδυνήθη ἐπὶ τελους νὰ τὴν βλέπῃ ἀπαθῶς καὶ ἀποστρέψας τὸ πρόσωπόν του ἀπ' αὐτῆς ἐκάλυψεν αὐτὸ διὰ χλαμύδος. Μετὰ τὴν δευτέραν αὐτὴν σκληρὰν τιμωρίαν πάλιν τὴν ἐφυλάκισαν εἰς τὸν αὐτὸν ἐκεῖνον τόπον τῆς κολάσεως, ἀφήσαντες αὐτὴν ἄνευ τροφῆς καὶ ἄνευ ἐλαχίστης περιποιήσεως. Πλὴν τὸ σῶμα αὐτῆς ἐφθάρη ἀπὸ τὰς μαστιγωσεις, καὶ ἡ ψυχή της ὅμως ἐξεναντίας ἀνεκαινίσθη καὶ ἐλαμπρύνθη, καὶ προσευχομένη ἀκαταπαύστως ἐν τῇ φυλακῇ της, εὐχαρίστει ἀπὸ καρδίας τὸν Κύριον, ὅτι τὴν ἠξίωσε νὰ βασανισθῇ διὰ τὴν ἀγάπην του.

Ἐν τοσούτῳ ὁ μισόκαλος καὶ φθονερὸς διάβολος, βλέπων ὅτι ὁ ὑπηρέτης του, ἤγουν ὁ Ἄρχων τῆς πόλεως Ὀλύβριος δὲν ἠδυνήθη νὰ ὑποχρεώσῃ μίαν τρυφερὰν παρθένον νὰ προσκυνήσῃ, τοὺς δαίμονας, ἤτοι τοὺς ψευδεῖς θεοὺς ἠβουλήθη νὰ δοκιμάσῃ, μήπως καὶ τὴν ἀναγκάσῃ αὐτὸς ὁ ἀδύνατος. Μεταμορφωθεὶς λοιπὸν εἰς σχῆμα μεγάλου καὶ φοβεροῦ δράκοντος ἐφάνη ὁ πάντολμος ἔμπροσθεν τῆς Ἁγίας φοβερὸς καὶ καταπληκτικός. Πῦρ καὶ φλόγα ἐξέβαλλεν ἀπὸ τὴν μύτην του καὶ τὰ ὄμματά του,



τὰ ὀδόντια του ἦσαν ἄσπρα καὶ μεγάλα, ἡ γλῶσσά του ὡς τὸ αἷμα κοκκίνη ἐσφύριζε δυνατά, καὶ ἔκαμνε τρομερὰν ταραχήν, καὶ τοιαύτας ἄλλας φοβερωτάτας μορφὰς ἐλάμβανεν. ὥστε ὅποιος δήποτε καὶ ἂν τὸν ἔβλεπεν, ἤθελεν ἐκπλαγῇ ἀναμφιβόλως. Ἡ Ἁγία Μαρῖνα ὅμως δὲν ἐφοβήθη παντελῶς, οὐδὲ διέκοψε τὴν προσευχήν της, ὅπως τὸ ἐπιθύμει ὁ πολυμήχανος ἐκεῖνος δαίμων, ὅστις ἰδὼν αὐτὴν ὅτι ἐξηκολούθει προσευχομένη, ἔδραμε κατ' ἐπάνω της, καὶ ἀνοίξας φοβερῶς τὸ στόμα του τὴν ἐρρόφησεν. Ἡ Ἁγία φοβηθεῖσα ἀπὸ τοῦτο καὶ ἔντρομος γενομένη, διότι ἐνόμισεν ὅτι ἀληθῶς κατέπιεν αὐτὴν τὸ θηρίον, ἤρχισεν εὐθὺς νὰ ἐπικαλῆται τὸ ὄνομα τοῦ Σωτῆρος Χριστοῦ καὶ ἀφοῦ ἔκαμε μὲ τὴν δεξιάν της τὸ σημεῖον τοῦ Σταυροῦ μέσα εἰς τὰ σπλάγχνα τοῦ δράκοντος, ἐσχίσθη ἀμέσως ἡ κοιλία αὐτοῦ εἰς δύο καὶ ἔγινεν ἄφαντος, ἡ δὲ Μάρτυς ἐξῆλθεν ἀβλαβής, καὶ χαίρουσα ἔψαλλε πρὸς τὸν Θεὸν δοξολογίας καὶ νικητήρια, καὶ ἔλεγε διάφορα ἁρμόδια ῥητὰ ἀπὸ τὴν Ἁγίαν Γραφήν, ἤγουν· « ὁ Θεὸς » οὐκ ἔστε πέρας τῆς μεγαλωσύνης σου θανατοῖς καὶ ζωογονεῖς, » κατάγεις εἰς ᾅδην, καὶ ἀνάγεις· συνέτριψας τὴν κεφαλὴν τοῦ » δράκοντος». Καὶ ἕτερα ὅμοια.

Ὁ δαίμων φύσει κακεντρεχὴς δὲν ἔπαυσε τὰς μηχανουργίας του, ἀλλ' ἠθέλησε νὰ δοκιμάσῃ καὶ μὲ ἄλλον τρόπον νὰ πολεμήσῃ τὴν Μάρτυρα. Μετεμορφωθεὶς λοιπὸν εἰς ἄνθρωπον ὁ μισάνθρωπος ἔγινε μαῦρος ὡσὰν τὸν ἀράπην, καθὼς εἶναι καὶ εἰς τὰ ἔργα του σκοτεινὸς καὶ ἄσχημος, καὶ τρέξας κατεπάνω τῆς Ἁγίας ἐκεῖ ὅπου ἐστέκετο προσευχομένη, τὴν ἅρπαξεν ἀπὸ τὰς χεῖρας, καὶ τὴν ἐφοβέρισε μὲ φωνὰς μεγάλας ὅτι θὰ τὴν φονεύσῃ, ἂν δὲν παύσῃ τὴν προσευχήν της, καὶ νὰ τὸν ἐνοχλῇ δι' αὐτῆς. Μόνον δὲ τὸ κίνημα τοῦτο ἔκαμε κατὰ τῆς Ἁγίας καὶ οὐδὲν ἄλλο, διότι ὁ Κύριος δὲν ἐσυγχώρησεν εἰς αὐτὸν περισσότερον. Ἂν δὲ εἶχεν ἐξουσίαν, ἀπὸ πολλοῦ θὰ τὴν ἐθανάτωνεν· πλὴν ἀφ' ἑαυτοῦ του δὲν δύναται νὰ μᾶς κακοποιήσῃ, ἐκτὸς ἂν θεία δύναμις θελήσῃ. Καὶ τὸ ἀσήμαντον αὐτὸ κίνημα, τὸ ὁποῖον ἔκαμε πρὸς τὴν Μάρτυρα, ἐπέβη πρὸς ζημίαν του, διότι ἐνθαρρυνθεῖσα αὐτὴ ἀπὸ τὸ θαυματούργημα τοῦ Θεοῦ, τὸν ἅρπαξεν ἀπὸ τὰς τρίχας καὶ τὸν ἐμάστισεν.

Αὐτῶν τὴν ἐξήγησιν δίδω ἤδη εἰς ὑμᾶς ὅπως δύναμαι·

«Δὲν εἶναι διόλου θαυμαστόν, ὅτι ὁ δαίμων, ἂν καὶ εἶναι πνεῦμα ἄϋλον ; πιάνεται, καθ' ὅλα τὰ ἄλλα πάσχει ὡς σκλά-

βος καὶ ὑποχείριος, διότι ἡ μὲν Ἁγία ἐκ τῆς πρὸς τὸν Θεὸν ἀγάπης ἀρνηθεῖσα τὰ γήϊνα πράγματα, καὶ μεταβιβασθεῖσα εἰς τὴν τάξιν τῶν ἀΰλων, τουτέστι τὴν Ἀγγελικήν, εὐλόγως ἠδυνήθη νὰ λάβῃ παρὰ τοῦ Θεοῦ τόσον μεγάλον χάρισμα. Ἐκεῖνος δὲ πάλιν (ὁ δαίμων) δίκαιον εἶναι νὰ πάσχῃ καὶ νὰ αἰσθάνεται, τοὺς πόνους. Ἐπειδὴ ὢν ἄϋλος πρότερον ἐξέπεσεν ἀπὸ τὸν Οὐρανὸν εἰς ὕλην μεταβληθείς, καὶ ἠγάπησε τὴν σωματικὴν παχύτητα καὶ τὰς λοιπὰς ὑλικὰς ἀπολαύσεις Διατὶ ἀφοῦ αἱ ἡδοναὶ νικῶσι τὰ σώματα, επόμενον εἶναι ὅτι καὶ τὰ πάθη νικῶσιν αὐτά· καὶ εἶναι πρᾶγμα ἀδύνατον νὰ ὑπάρχῃ τις, ὅστις αἰσθάνεται τὸ ἓν ἀπὸ τὰ δύο αὐτὰ ἐναντία καὶ τὸ ἄλλο νὰ μὴ τὸ αἰσθάνεται· διότι καθένας φαίνεται ἐξ ἴσου ἔχων τὴν αὐτὴν πρὸς τὰ τοιαῦτα διάθεσιν καὶ δὲν εἶναι δυνατὸν νὰ εὑρεθῇ ποτὲ σφαλερὸς ὁ ὀρθὸς λόγος. Διὰ τοῦτο καὶ ὁ Δαίμων ἐπειδὴ ἐφάνη εἰς τοιοῦτον σχῆμα ὑλικόν, πάσχει προτοῦ νὰ κάμῃ κακόν τι· καὶ ἀπὸ τότε μὲν καὶ εἰς τὸ ἑξῆς δὲν ἐτόλμησε πλέον νὰ πλησιάσῃ τὴν Μάρτυρα, καθὸ γνωρίσας ἐμπράκτως πόσην δύναμιν ἔχουσιν ἀπὸ τὸν Χριστὸν ὅσοι τὸν ἠκολούθησαν μὲ ὅλην των τὴν καρδίαν· καὶ ἐξ ἐναντίας πόσην ἐκεῖνος ἔχει ἀδυναμίαν, διότι αὐθαδίασε κατὰ τοῦ ποιητοῦ του· καὶ ἔγινεν ἀποστάτης».

Ἀφοῦ λοιπὸν ἡ πάνσεμνος Μαρίνα ἐνίκησεν ἀνδρείως τὸν πόλεμον, καὶ αὐτὸς ὁ ἀνίσχυρος καὶ ἀδύνατος ἔγινεν ἄφαντος, τότε ἦλθον εἰς αὐτὴν οὐρανόθεν τὰ νικητήρια, καὶ τὰ σωτήρια καὶ χαρμόσυνα εὐαγγέλια· ἤγουν, ἐφάνη εἰς αὐτὴν φῶς μέγα καὶ ἐξ αὐτοῦ ἔλαμψεν ὅλον τὸ δεσμωτήριον, τὸ φῶς δὲ τοῦτο ἐξήρχετο ἀπὸ ἕναν Σταυρόν, ὅστις ἔφθανεν ἀπὸ τὴν γῆν ἕως εἰς τὸν Οὐρανόν· ἐπάνω δὲ τοῦ Σταυροῦ ἐπέτα μία λευκὴ περιστερά, καθαρὰ καὶ ἄμωμος. Τὰ σημεῖα ταῦτα νομίζω, ὅτι ἐφανέρωναν τὸ τῆς Ἁγίας Τριάδος μυστήριον, δηλαδὴ τὸ μὲν φῶς ἐσήμαινε τὴν δόξαν τοῦ Πατρός, ὁ Σταυρός, τὸν ἐσταυρωμένον Χριστόν· καὶ ἡ Περιστερὰ τὸ πνεῦμα τὸ Ἅγιον, ἡ ὁποία κατέβη καὶ πλησιάσασα εἰς τὴν Ἁγίαν τὴν εἶπε·—Χαῖρε Μαρίνα, ἡ λογικὴ περιστερὰ τοῦ Θεοῦ· διότι ἐνίκησας τὸν πονηρόν, καὶ τὸν ἐχθρὸν κατήσχυνας. Χαῖρε δούλη πιστή, καὶ ἀγαθὴ τοῦ Κυρίου σου, τὸν ὁποῖον ἐπόθησας ἐξ ὅλης καρδίας σου, καὶ ἐμίσησας πᾶσαν ἀπόλαυσιν πρόσκαιρον. Χαῖρε καὶ εὐφραίνου, διότι ἔφθασεν ἡ ἡμέρα νὰ λάβῃς τῆς νίκης τὸν Στέφανον, καὶ νὰ εἰσέλθῃς πρεπόντως στολισμένη μὲ τὰς φρονίμους Παρθένους εἰς



τὸν νυμφῶνα τοῦ νυμφίου καὶ βασιλέως σου.

Μὲ τὰ λόγια ταῦτα, τὰ ὁποῖα ἐλαλήθησαν οὐρανόθεν εἰς αὐτήν, ἀνεκαινίσθη ὅλον της τὸ σῶμα μὲ τὴν δρόσον τοῦ παναγίου Πνεύματος καὶ ὅλαι αἱ πληγαί της ἐθεραπεύθησαν τόσον, ὥστε οὔτε κἄν σημεῖον τραύματος ἔμεινε ποσῶς εἰς τὴν σάρκα της. Ὅθεν ἐνεπλήσθη ἀμέτρου χαρᾶς καὶ ἀγαλλιάσεως ; καὶ ἐξωμολογεῖτο εὐφραινομένη μεγαλοφώνως λέγουσα. Εὐλογήσω σε Κύριε, ὑμνήσω σε ὁ Θεός μου, καὶ δοξάσω τὸ ὄνομά σου, ὅτι ἔκαμες εἰς ἐμὲ τὴν ἀναξίαν δούλην σου θαυμάσια πράγματα. Ὑψωσέ σε, Κύριε, καὶ αἰνέσω σε, ὅτι ἐλέησας καὶ ἐπεσκέφθης με, καὶ ἰατρεύσας τὴν ψυχὴν καὶ τὸ σῶμά μου, καὶ δὲν μὲ παρέδωκας εἰς τὰς χεῖρας τῶν ἐχθρῶν μου, ἀλλὰ καὶ τὸ ὑπέρογκον τῆς φαντασίας τοῦ ὀλεθριωτάτου δράκοντος μοῦ ἔδειξες καὶ τοῦτον μὲ τοὺς ἄλλους θανατηφόρους ὄφεις καὶ δαίμονας εἰς τὰς ἀβύσσους ἐβύθισας. Τώρα δὲ πάλιν εὐφρανθεῖσα τῷ πνεύματι ἐπὶ σοὶ τῷ Θεῷ τῷ Σωτῆρί μου, ζητῶ ἄλλην μίαν χάριν ἀπὸ τὴν ἄπειρόν σου ἀγαθότητα, νὰ μὲ ἀξιώσῃς νὰ ξαναγεννηθῶ διά τοῦ λουτροῦ τοῦ Ἁγίου σου Βαπτίσματος, νά τελειωθῶ δηλαδὴ μὲ τὸ ὕδωρ τῆς Παλιγγενεσίας, καθὼς ἡγιάσθην μὲ τὸ πνεῦμά σου τὸ Ἅγιον καὶ μὲ τὸ αἷμα τῆς ἀθλήσεως, νά γείνω ἀξία τῆς εἰσόδου τῶν Ἁγίων σου· ὅτι σὺ εἶσαι μόνος Ἅγιος ἀληθῶς, καὶ ἐν Ἁγίοις ἀναπαυόμενος καὶ δοξαζόμενος σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας Ἀμήν.

Οὕτω προσηύχετο καθ' ὅλην ἐκείνην τὴν νύκτα ἡ Ἁγία εἰς τὴν φυλακήν, ἀγαλλομένη καὶ τὸν Θεὸν δοξάζουσα. Τὴν δὲ ἐπαύριον ἐλθὼν ὁ Ἔπαρχος καὶ καθίσας εἰς τὸν θρόνον του, ἐνώπιον τοῦ πλήθους ὅλου τῆς πόλεως ἐκείνης, ἔφεραν καὶ τὴν Μάρτυρα, τὴν ὁποίαν ἰδὼν ὁ Ἔπαρχος ὑγιαίνουσαν ἐντελῶς φαιδρὰν εἰς τὸ πρόσωπον, ἐθαύμασε διὰ τοῦτο καὶ τὴν εἶπε.—Βλέπεις Μαρίνα, ὅτι οἱ μεγάλοι θεοὶ ἔχουσι τὴν ἔννοιαν καὶ φροντίδα σου ; καὶ σπλαγχνισθέντες τὸ κάλλος σου σὲ ἰάτρευσαν ; Πρέπει λοιπὸν καὶ σὺ νά μὴ φανῇς εἰς τοὺς εὐεργέτας σου ἀχάριστος, ἀλλά νά τοὺς δώσῃς ἄξιαν ἀνταμοιβήν, νά γίνῃς ἱέρειά των καὶ θυσιάσῃς εἰς αὐτοὺς ὁμοῦ μὲ τόν πατέρα σου.—Ἡ Ἁγία τότε ἀπεκρίθη εἰς αὐτὸν εἰποῦσα. Δὲν μὲ ἐλάτρευσαν οἱ ἀναίσθητοι καὶ ἀνίσχυροι θεοί σου, ἀλλὰ ὁ ἀληθὴς καὶ ὁ μόνος Θεὸς ὁ ὁποῖος θεραπεύει ψυχὰς καὶ σώματα, καὶ τὸν

θέλω λατρ ύει πάντοτε. Τοῦτον πρέπει νὰ γνωρίσῃς καὶ σύ, καὶ αὐτὸν μόνον νὰ προσκυνῇς ὡς ἀθάνατον, καὶ νὰ μισήσῃς τὰ ψεύδη καὶ μάταια εἴδωλα.— Ὁ Ἔπαρχος ὀργισθεὶς ἐπρόσταξε νὰ τὴν γυμνώσωσι καὶ νὰ τὴν κρεμάσωσιν εἰς τό ξύλον καὶ νὰ κατακαίωσι μὲ λαμπάδας ἀνημμένας τὰς πλευρὰς καὶ τὸ στῆθος της. Ὑπέμεινε λοιπὸν ἡ Μάρτυς τὰς ἀλγηδόνας καὶ τοὺς πόνους αὐτοὺς ἐπὶ πολλὴν ὥραν καταφλεγομένη καὶ προσηύχετο εἰς τὴν καρδίαν της ἥσυχα εὐχαριστοῦσα τὸν Κύριον. Μετὰ ταῦτα ἔφεραν εἰς τὸ μέσον ἓν μεγάλον καζάνι, καὶ τὸ ἐγέμισαν μέ νερόν, καὶ κατεβάσαντες ἀπὸ τὸ ξῦλον τὴν Μάρτυρα, ἔδεσαν αὐτὴν δυνατά καὶ τὴν ἐβούτησαν εἰς αὐτὸ μὲ τὴν κεφαλήν, διά νὰ πνιγῇ εἰς τὰ ὕδατα. Ἀλλ' εἰς μάτην ἐκοπίαζον οἱ ἀνόητοι διότι ὁπόταν τὴν ἔβαλλον ἐντὸς το. καζανίου ἐβόησε, λέγουσα· Κύριε Ἰησοῦ Χριστέ, ὁ ὁποῖος ἔλυσας τὰ δεσμὰ τοῦ θανάτου, καὶ τοὺς νεκροὺς ἐξανέστησας; παντοδύναμε, ἐπίβλεψον καὶ εἰς τὴν δούλην σου, καὶ τοὺς δεσμούς μου διάρρηξον, καὶ ἄς μοῦ γείνῃ τοῦτο τὸ ὕδωρ εἰς ζωὴν αἰώνιον, καὶ εἰς ἀναπλήρωσιν τοῦ ἐπιθυμητοῦ μου Βαπτίσματος νὰ ἐκδυθῶ τόν παλαιὸν καὶ φθειρόμενον ἄνθρωπον καὶ νὰ ἐνδυθῶ τὸν νέον καὶ ἀθάνατον.

Οὕτω δὲ προσευχομένην ἔρριψαν αὐτὴν πάλιν εἰς τὸ ἀγγεῖον ἐκεῖνο τοῦ ὕδατος καὶ παρευθὺς σεισμὸς μέγας ἔγεινε καὶ ἐφάνη πάλιν ἡ πρώτη ἐκείνη περιστερὰ ἐπάνω τοῦ ὕδατος βαστάζουσα εἰς τὸ ῥάμφος της στέφανον. Αὐτὴν τὴν ὥραν ἐφάνη καὶ ὁ πύρινος στῦλος καὶ ἐπάνω τούτου Σταυρὸς κατὰ τὸν τύπον τόν ὁποῖον ἀνωτέρω περιεγράψαμεν. Ἡ μὲν οὖν Ἁγία ἐξῆλθεν ἀπὸ τὰ ὕδατα ὅλα τὰ δεσμά της ἐλύθησαν καὶ ἐστέκετο μὲ ἀγγαλλίασιν ἄφραστον, δοξάζουσα τὴν παναγίαν Τριάδα καὶ ἐξ ὅλης ψυχῆς αὐτὴν ἐμεγάλυνεν, ἐπειδὴ ἐβαπτίσθη ἀμέσως ὑπ' αὐτῆς κατὰ τὸν πόθον της καὶ ἐφωτίσθη ὑπερφυῶς. Καὶ ὄχι μόνον τοῦτο τὸ θαυμάσιον ἔγινε τότε εἰς τὴν Ἁγίαν, ἀλλὰ καὶ ἕτερον ἐξαίρετον, ἤγουν ἐκάθισεν ἡ περιστερὰ ἐκείνη εἰς τὴν κεφαλὴν τῆς Μάρτυρος, βαστάζουσα ἐκεῖνον τὸν ἀμαράντινον στέφανον.

Μετὰ τὰ συμβάντα ἐκεῖνα, εἰς τὰ ὁποῖα ἡ θεία ἐκείνη περιστερὰ ἐφαίνετο ὅτι εὐχαριστεῖτο, ἐτίναξε τὰς πτέρυγάς της καὶ πετάξασα ἐκάθισεν ἐπάνω εἰς τὸν φωτοφανῆ ἐκεῖνον Σταυρόν, καὶ εἶπεν εἰς ἐπήκοον πάντων πρὸς τὴν ἁγίαν Μάρτυρα.



Ἐλθὲ εἰς τὰς ἄνω μονὰς τοῦ Παραδείσου, Μαρίνα Θεόνυμφε νὰ ἀπολαύσῃς τῆς ἀφθαρσίας τὸν στέφανον εἰς τὰ ἀγαπητὰ τοῦ Θεοῦ Σκηνώματα, νὰ χαίρεσαι μὲ τοὺς λοιποὺς Ἁγίους καὶ νὰ ἀναπαύεσαι αἰώνια.— Αὐτὴν τὴν θείαν φωνὴν ἀκούσαντες ἔξαφνα ὅλοι τῆς πόλεως ἐτρόμαξαν, καὶ ἐπίστευσαν εὐθὺς εἰς τὸν Χριστόν, ἄνδρες ὁμοῦ καὶ γυναῖκες πλῆθος ἀμέτρητον, καὶ ἐβόησαν μεγαλοφώνως ὅτι ἦσαν ἕτοιμοι νὰ ἀποθάνωσι διὰ τὸν Χριστὸν τὸν ἀληθῆ Θεόν.

Ὅθεν ἀκούσας ὁ Ἔπαρχος ὅτι ὡμολόγουν τὸν Χριστὸν Θεὸν καὶ Βασιλέα τοὺς δὲ βασιλεῖς καὶ τοὺς θεοὺς ἐβλασφήμουν καὶ ὕβριζον, ἐπρόσταξε νὰ θανατώσωσιν ὅσους ἐπίστευσαν Αὐτοὶ δὲ ἔτρεχαν εἰς τὴν σφαγὴν διὰ τὸν Χριστὸν ἑκουσίως ὡς πρόβατα ἄκακα· καὶ ἐφόνευσαν ἄνδρας χιλιάδας δεκαπέντε ἐκτὸς τῶν γυναικῶν, τὰς ὁποίας δὲν ἐμέτρησεν. Ἅπαντες δὲ οὗτοι βαπτισθέντες μὲ τὸ ἅγιον αἷμά των, δὲν ἐχρειάσθησαν ἄλλο βάπτισμα, διότι γινόμενοι θυσία καὶ ὁλοκάρπωσις τῷ Θεῷ, ἀπῆλθον εἰς τὴν αἰώνιον αὐτοῦ βασιλείαν οἱ τρισμακάριοι. Ὁ ἐ δυσσεβὴς Ὀλύβριος φοβούμενος μήπως νηστεύσωσι καὶ οἱ ἐπίλοιποι τῆς πόλεως ἂν ἀφήσῃ τὴν Ἁγίαν ἀκόμη ζωντανήν, ἀπεφάσισε καὶ χωρὶς νὰ θέλῃ νὰ τὴν θανατώσωσι διὰ ξίφους.

Ἅμα λοιπὸν ἔλαβον αὐτὴν ο δήμιοι καὶ τὴν ἔφεραν εἰς τὸν τόπον τῆς καταδίκης, ἐκεῖ ὅπου καὶ τὸ εἰρημένον πλῆθος ἀπεκεφάλισαν, ἡ Ἁγία πα εκάλεσε τὸν στρατιώτην, ὁ ὁποῖος ἤθελε νὰ τὴν φονεύσῃ και τῷ εἶπε.— Μακροθύμησον ὀλίγην ὥραν εἰς ἐμέ, ὦ τέκνον μου, νὰ ὁμιλήσω πρὸς τοὺς παρεστῶτας ὀλίγα λόγια, νὰ κάμω καὶ τὴν προσευχήν μου καὶ ἔπειτα να κάμῃς καὶ σὺ τὸ προστασσόμενον.— Ἀφοῦ εἶπε ταῦτα, ἔστρεψε τὸ πρόσωπον αὐτῆς πρὸς τὸ παριστάμενον πλῆθος καὶ εἶπε πρὸς αὐτό —Παρακαλῶ σας, ἀδελφοὶ καὶ φίλοι μου, ὡς ἀναξία δούλη τοῦ Ὑψίστου, νὰ ἀκούσητε μετὰ προσοχῆς τὴν μικράν μου ταύτην παραίνεσιν Ἠξεύρετε ὅτι ἕνας εἶναι μόνος ὁ ἀληθὴς Θε ἐν Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ πνεύματι θεωρούμενος καὶ προσκυνούμενος καὶ ὅστις πιστεύει εἰς αὐτὸν μόνον σώζεται. Λοιπὸν ὑπερβαίνοντες πᾶσαν τὴν κτίσιν τῶν ὁρωμένων καὶ νοουμένων ὑψώσατε τὸν νοῦν νὰ γνωρίσετε τόν Πατέρα τῶν φώτων, καὶ τὸν μονογενῆ Υἱὸν καὶ λόγον αὐτοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὸ Πανάγιον Πνεῦμα. Διότι,

αὐτὰ τὰ τρία πρόσωπα εἶναι Θεός ἀκατάληπτος, καὶ οὐδεὶς σώζεται εἰς ἄλλο ὄνομα. — Ταῦτα ἡ Μάρτυς πρὸς τοὺς παρόντας ὁμιλήσασα ὕψωσε πρὸς τὸν Οὐρανὸν τὰ ὄμματα τῆς διανοίας καὶ προσηυχήθη.

Ἐν ᾧ προσηύχετο οὕτω ἡ μάρτυς, ἐγένετο πάλιν σεισμὸς μέγας καὶ ἔπεσαν πολλοὶ ἄνθρωποι κατὰ γῆς, σὺν αὐτοῖς δὲ καὶ ὁ δήμιος, ὅστις ἔμελλε νὰ τὴν θανατώσῃ ἔντρομος γενόμενος κατέπεσε καὶ οὗτος. Ὁ δὲ Κύριος παρεστάθη πρὸς αὐτὴν νοερῶς μὲ πλῆθος πολὺ Ἁγίων Ἀγγέλων, καὶ εἶπε πρὸς αὐτήν. Ἔχε θάρρος, Μαρίνα, καὶ μὴ φοβῆσαι, διότι ἐπήκουσα τὰς προσευχάς σου καὶ πάντα ὅσα ἐζήτησας ἐπλήρωσα καὶ θέλω τὰ ἀποπληρώσῃ μὲ τὸν καιρὸν ὅπως ἐδεήθης πρὸς ἐμέ, ἤδη δὲ ἦλθον νὰ ἀναλάβω τὴν ψυχήν σου εἰς τὰ οὐράνια. Εἶσαι μακαρία, διότι παρεκάλεσας διὰ τοὺς ἁμαρτωλούς, ἐφάνης ἐνώπιόν μου ἄμωμος καὶ εὗρες χάριν παρ' ἐμοί. Διὰ τοῦτο θέλει εἶσθαι πολὺς ὁ μισθός σου εἰς τοὺς Οὐρανούς.

Ἀκούσασα τοὺς λόγους τούτους τοῦ Κυρίου, ἡ Μαρίνα ἐνεπλήσθη χαρᾶς πολλῆς καὶ ἀγαλλιάσεως, καὶ εἶπε τότε πρὸς τὸν στρατιώτην. — Ἐκτέλεσον τώρα εἰς ἐμὲ ἐκεῖνο, τὸ ὁποῖον σὲ ἐπρόσταξαν. — Αὐτὸς ὅμως ἔτρεμε καὶ δὲν ἐτόλμα νὰ σηκώσῃ παντελῶς τὸ ξίφος. Πλὴν ἐκείνη τὸν ἐνεθάρρυνεν καὶ μόλις καὶ μετὰ βίας τὸν κατέπεισε καὶ ἔκυψε τὴν μακαρίαν αὐτῆς κεφαλὴν τὴν 19 τοῦ μηνὸς Ἰουλίου, καὶ τὸ μὲν Ἅγιον Λείψανον αὐτῆς ἔλαβον κρυφίως οἱ Χριστιανοὶ καὶ τὸ ἐνεταφίασαν ἐντίμως ὡς ἔπρεπεν εἰς αὐτό, ἡ δὲ μακαρία αὐτῆς ψυχὴ ἀπῆλθεν εἰς τὴν οὐράνιον εὔκλειαν, τὴν ὁποίαν εἴθε καὶ ἡμεῖς ἅπαντες νὰ ἐπιτύχωμεν. Ἀμήν.

Τέλος τοῦ βίου τῆς Ἁγίας Μαρίνας.

21 Ἰουλίου. Τῶν Ὁσίων Πατέρων Ἰωάννου καὶ Συμεὼν τῶν διὰ Χριστὸν Σαλοῦ, τῶν ἁγίων μαρτύρων Ἰούσιον, Ματθαίου, Εὐγενίου, Θεοδώρου, Γεωργίου, Θεοφίλου, Τροφίμου, ἑτέρων 13 ὁμοίως καὶ 3 ἐν Μελετινῇ, ἁγ. μάρτυρος Ἀκακίου, ἡ Σύναξις τῶν Ἁγ. Ἐλευθερίου καὶ τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἀρματίου, καὶ τοῦ Ὁσίου Ὀνουφρίου τοῦ σιωπηλοῦ Ρώσσου.



Ταῖς τῆς Θεοτόκου καὶ πάντων τῶν Ἁγίων Ἀμήν.
Ἀπολυτίκιον τῶν Ὁσίων. Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Ἦχος δ'
Κοντάκιον Ἦχος Α'. Χορὸς Ἀγγελικός.

Τὸν βίον εὐσεβῶς, ἐκτελέσαντες πίστει, δοχεῖα καθαρᾶ, τῆς Τριάδος δειχθέντες, Συμεὼν Ἰωάννη τε, θεοφόροι πανεύφημοι, νῦν αἰτήσασθε, τὸν ἱλασμὸν καὶ εἰρήνην, ταῖς ψυχαῖς ἡμῶν, καταπεμφθῆναι πλουσίως, Πατέρες πανόλβιοι.

Μεγαλυνάριον

Τοὺς ἀσπαζομένους σὴν ἑορτήν, ὅσιοι Πατέρες, Συμεὼν καὶ Ἰωάννη, θεηγόροι ὑπέρλαμπροι, μετὰ τῶν μαρτύρων, καὶ τῶν λοιπῶν Ὁσίων, Χριστῷ πρεσβεύσατε.

Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι, ἐν Κυρίῳ τοῖς εὐθέσι πρέπει αἴνεσις.

---

22 Ἰουλίου. Τῆς Ἁγίας Μυροφόρου καὶ Ἰσαποστόλου Μαρίας τῆς Μαγδαλινῆς. καὶ τῆς Ἁγίας ἐνδόξου Παρθενομάρτυρος Μαρκέλης τῆς Χιοπολίτιδος

Εἰς τὸν Ἑσπερινόν. τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ς' τὰ γ' τῆς Ἁγ. Μαγδαληνῆς, καὶ γ' τῆς Ἁγ. Μαρκέλης. Ἦχ. α' Πανεύφημοι Μάρτυρες.

Μῦρα προσεκόμισας Χριστῷ, τεθειμένον μνήματι, καὶ τοῖς νεκροῖς τὴν ἀνάστασιν, πᾶσαν ἐμπνέοντι καὶ ἰδοῦσα τοῦτον, πρώτη προσεκύνησας, Μαρία θεοφόρε δακρύουσα. Διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Σταυρῷ καθηλούμενον Χριστόν, καθορῶσα ἔκλαιες, Μαγδαληνὴ καὶ ἐκραύγαζες· Τί τὸ ὁρώμενον; ἡ ζωὴ πῶς θνήσκει, καὶ ἡ κτίσις βλέπουσα, κλονεῖται, καὶ φωστῆρες σκοτίζονται. Διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἐπλήσθης συνέσεως πολλῆς, ἀληθοῦς τε γνώσεως, ἐν τῷ συνεῖναι τῷ κτίσαντι, Μαρία ἔνδοξε, καὶ αὐτοῦ τὰ πάθη, καὶ τὴν συγκατάβασιν, ἐκήρυξας λαοῖς παναοίδιμε. Διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ γ' τῆς Ἁγ. Μαρκέλης εἰς ἦχον α' τῶν οὐρανίων.

Τῆς Ἀθληφόρου Μαρκέλλης, τὴν μνήμην σήμερον, ἐν ἐτησίοις ὕμνοις, ἑορτάσωμεν πάντες, φιλέορτοι ἐνδόξως, ἥτις Χριστῷ, τῷ Κυρίῳ παρίσταται ἐκδυσωποῦσα ἀπαύστως ὑπὲρ ἡμῶ, τῶν ἐκ πόθου εὐφημούντων αὐτήν. Δίς.

Ἡ Νῆσος Χίος καυχάσθω, ὅτι ἐξήνθησε, τὸ παρθενίας ἄνθος, τὸ θεόβλαστον ὄντως, τὴν ἔνδοξον Μαρκέλλαν, ἥπερ ἀεί, τῷ Κυρίῳ παρίσταται ἐκδυσωποῦσα ἀπαύστως ὑπὲρ αὐτῆς, παῤῥησίᾳ καὶ τοῦ Κόσμου παντός.

Τὴν ἱερὰν καὶ λαμπρὰν σου, μνήμην δοξάζοντες, Μαρκέλλα μακαρία, καὶ πιστῶς ἐκτελοῦντες, βοῶμέν σοι σὺν πόθῳ, ῥῦσαι ἡμᾶς, τῆς φλογὸς τῆς κολάσεως, καὶ τῶν βελῶν τοῦ βελίαρ, ταῖς πρὸς Χριστόν, ἱκεσίαις σου πανεύφημε.

Δόξα, Ἦχος πλ. α'.

Δεῦτε, λαοί, ᾀσματικοῖς στέμμασι, τὴν τοῦ Χριστοῦ, καὶ ἄμωμεν Νύμφην Μαρκέλλαν σήμερον καταστέψωμεν, τὴν τὸν ἀρχέκακον ὄφιν καταπατήσασαν· ταῖς γὰρ παρὰ τοῦ ἀσελγοῦς αὐτῆς πατρός, ἀλγειναῖς μαστιγώσεσιν, ὡς ἀδάμας στεῤῥὸς μὴ ἐνδοῦσα, καὶ τὴν αὐτοῦ ἀνόσιόν τε καὶ ἄθεσμον μίξιν ἀποβαλοῦσα, τοὺς μαστοὺς ἀφῄρηται κ, τὴν θεόφρονα κεφαλὴν αὐτῆς ἐκτέτμηται· ὅθεν ἐκ δεξιῶν τοῦ Σωτῆρος παρέστη, ὡς παρθένος φρονίμη, σὺν Ἰσιδώρῳ τῷ θείῳ, κ, Μυρόπη τῇ ἐνδόξῳ καὶ τῇ Ὁσίᾳ Ματρώνῃ, τοῖς πρὸ αὐτῆς ἐν Χίῳ διαλάμψασι, καὶ προστάταις αὐτῆς γενομένοις, διηνεκῶς, πρεσβεύουσα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα τῆς Ἁγ. Μαγδαληνῆς ἦχος πλ. β'

Πρώτη κατιδοῦσα τὴν θείαν ἀνάστασιν, Μαρία Μαγδαληνή, τοῦ πρώτου τῶν ἀγαθῶν αἰτίου, τοῦ τὴν ἡμετέραν φύσιν εὐσπλάγχνως θεώσαντος, πρώτη καὶ εὐαγγελίστρια ἐδείχθης, βοῶσα τοῖς Ἀποστόλοις Τὴν ἀθυμίαν ἀποθέμενοι, τὴν εὐθυμίαν ἀναλάβετε, καὶ δεῦτε κατοπτεύσατε Χριστὸν ἐξαναστάντα, καὶ κόσμῳ παρέχοντι τὸ μέγα ἔλεος.

καὶ νῦν Θεοτοκίον

Οὐδεὶς προστρέχων ἐπὶ σοὶ κατησχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται ἁγνὴ Παρθένε Θεοτόκε· ἀλλ' αἰτεῖτε τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.



Εἴσοδος. Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τῆς Ἁγίας Μαρίνης. Ὀκτωμβρίου 20. Εἰς τὴν Λιτήν, Ἦχος α.

Πηγὴ χαρίτων, ἡ σορὸς τῆς θείας Μαρκέλλης ὄντως ἀναδέδεικται, πολλοῖς γὰρ ἐν ποικίλοις πάθεσιν οὖσι, προσέτι καὶ ἀβλεψίαν νοσοῦσι τῇ τοῦ ἑαυτῆς αἵματος χρίσει, τὴν θεραπείαν δεδώρηται· ὅπερ ἄχρι τοῦ νῦν ἐν ταῖς τῆς θαλάσσης ἀκταῖς ἐρᾶται κυματοῦν, καὶ τὴν ἐκείνης ἄδικον τοῖς ἀγνοοῦσιν ἐναργῶς δεικνύον σφαγήν· ὅθεν καὶ ἡμεῖς, οἱ ἐν ἀσθενείαις, ψυχῶν κατακείμενοι, προσέλθωμεν αὐτῇ μετὰ πίστεως, καὶ τῆς πνευματικῆς θεραπείας τευξόμεθα δι' αὐτῆς, ποιεῖ γὰρ ὁ Κύριος τὸ θέλημα τῶν φοβουμένων αὐτόν.

Δόξα, Ἦχος πλ. β'.

Δεῦτε φιλέορτοι πάντες, ἐν τῷ Ναῷ, τῆς Ἀθλοφόρου Μαρκέλλης σήμερον ἀθροισθέντες πνευματικῶς πανηγυρίσωμεν εὐοχούμενοι, μυστικὴν γὰρ ἡμεῖν τράπεζαν τὰς ἀριστείας καὶ τοὺς ἄθλους αὐτῆς πᾶσι προτίθεται, ὡς ἔδεσμα τερπνὸν καὶ ἐξαίρετον. Ἐνθέως οὖν κορεσθέντες, δοξάσωμεν τὸν παντοδύναμον Κύριον, τὸν ἰσχὺν αὐτῇ δόντα, ἀντιστῆναι τῷ ἀρχεκάκῳ δαίμονι, καὶ σὺν τοῖς μαστοῖς, τὴν τῆς κάρας ἐκτομήν, προθύμως δέξασθαι, παρὰ τοῦ ἰδίου πατρός. Ἧς ταῖς πρεσβείαις δώρησαι ἡμῖν ὁ Θεός, τὸ μέγα σου ἔλεος.

Καὶ νῦν, Θεοτόκε σὺ εἶ ἡ ἄμπελος

Ἦχ Α' εἰς τὴν λιτὴν

Κατηκολούθησας τῷ δι' ἡμᾶς πτωχεύσαντι Σωτῆρι, Χριστῷ τῷ Θεῷ ἡμῶν, Μαγδαληνὴ Μαρία πανεύφημε· καὶ τούτου ταῖς ἴχνεσι καὶ ταῖς διδαχαῖς ἑπομένη, ὁλοψύχως Αὐτῷ ἀφιερώθης. Ὅθεν ἰσαπόστολος, καὶ μυροφόρος, καὶ κῆρυξ τῆς Αὐτοῦ Ἀναστάσεως, πρώτη τετύχηκας. Φέρουσα χαρᾶς εὐαγγέλια τοῖς σεπτοῖς αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις· σὺν αὐτοῖς οὖν πρέσβευε Αὐτῷ, εἰρηνεῦσαι τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἦχ Β'

Ὡς ὤφθης ἐπὶ γῆς Χριστὲ ὁ Θεὸς ἡμῶν, δι' ἄκραν φιλανθρωπίαν· διακόνους προσέλαβες τῆς σῆς διδασκαλίας· ἵνα θεωρήσαντες τὰ θαυμάσιά σου, φωτίσωσι τὰ ἔθνη πρὸς τὴν ἐπίγνωσίν σου, αὐτόπται γενόμενοι καὶ αὐτήκοοι τῶν μεγαλείων σου·

ἐν οἷς καὶ Μαρία Μαγδαληνή, εὐαγγελίστρια ἐδείχθη, μυροφόροις πρώτη καὶ ἰσαπόστολος, ἀπαλκαγεῖσα τῆς τῶν δαιμόνων δυσωδίας ἐγένετο ναὸς τῆς χάριτός σου. Εὐχαῖς αὐτῆς Κύριε, ἀξίωσον καὶ ἡμᾶς ἀξίως περιπατεῖσαι τῆς θείας σου κλήσεως. διὰ τὸ μέγα σου ἔλεος.

Ἦχ Γ'

Νέκρωσιν ἐπὶ τοῦ ξύλου ἰδοῦσα τοῦ ἀνανθρωπίσαντος Λόγου, ἡ Μαγδαληνὴ Μαρία ἐβόα. Οἴμοι τὸ φῶς τοῦ κόσμου πῶς σβέννυται ! καὶ τὰ θεμέλια τῆς γῆς συγκλονίζονται καὶ τὸ τοῦ ναοῦ καταπέτασμα εἰς ἔλεγχον ῥήγνυται" Μέγα τὸ παράδοξον ! νεκροὶ ἐκ τῶν τάφων ἠγέρθησαν, καὶ ᾅδης ὀδύρεται· θαυμάσια τὰ ἔργα σου Κύριε δόξα σοι.

Ἦχος Δ'.

Σήμερον ἡ Ἐκκλησία τοῦ Χριστοῦ, ἀγαλλομένη, ἐπὶ τῇ ἐτησίῳ μνήμῃ τῆς πανευφήμου καὶ ἰσαποστόλου Μαγδαλινῆς Μαρίας στολίζεται ὅλην τὴν εὐπρέπειαν· ἔχει γὰρ καὶ τὴν χάριν Πνεύματος ἡ μνήμη τῆς μυροφόρου μυρίζουσα τῶν πιστῶν τὰς διανοίας, εὐαγγελιζούσης ἔτι καὶ νῦν, διὰ τῆς μνήμης αὐτῆς τὸν ἀναστάντα Κύριον : τὸν δωρούμενον πᾶσι τὸ μέγα ἔλεος.

Δόξα ἦχος πλ. α'.

Τῆς Μαγδαλινῆς Μαρίας, τὴν ἐτήσιον μνήμην, δεῦτε πιστοὶ πανηγυρίσωμεν. Ταύτην γὰρ ἐγκωμιάζοντες Χριστῷ τὸν αἶνον προσάγομεν· πρώτη γὰρ αὕτη τὸν ἀναστάντα Κύριον ἰδοῦσα, ἤκουσε, μή μου ἅπτου· εἰπὲ τοῖς ἀδελφοῖς μου· διὸ ὡς μυροφόρος καὶ ἰσαπόστολος πανταχοῦ τοῦτον ἐκήρυξε καὶ ἡμεῖς φωτισθέντες βοῶμεν πρὸς αὐτήν. Ὄντως Μακαρία σὺν ἐν γυναιξί, καὶ ὡραῖοι ὀφθαλμοί σου, ὅτι εἶδον θαυμαστὰ καὶ παράδοξα καὶ τοῖς πᾶσιν ἐξαίσια· καὶ ἀκοὴ τρισολβία, ὅτι ἤκουσε φωνὴν Θεοῦ ἐνανθρωπίσαντος, καὶ τὸν ᾅδην σκυλεύσαντος· καί ἡ λαλιά σου ὡραία. κηρύττουσα τούτου τὰ τεράστια ἐν ταῖς ἀκοαῖς τῶν ἀπίστων, καὶ προσερχομένων πρὸς τὸ φῶς Θεϊκῆς ἐπιγνώσεως. Διὸ μέμνησο καὶ ἡμῶν, τῶν τελούντων τὴν θεία σου μνήμην, πρεσβεύουσα ἐκτενῶς τῷ σῷ νυμφίῳ Χριστῷ εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰ ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε καὶ Παρθένε καὶ δοξάζομεν οἱ πιστοὶ καταχρέως. κ. λ. π.



Εἰς τὸν Στίχ. Στιχηρὰ προσόμοια, Ἦχος δ'.

ἐν Μάρτυσι. Τοῖς χοροῖς συνεριθμῆσαι, τῶν μαρτύρων ἀοίδιμε, Μαρκέλα πολύαθλε καὶ πανέντιμε. τοῦ γὰρ πατρός σου τὴν ἄθεσμον, βουλὴν καὶ ἀνόσιον, βδελυχθεῖσα ὡς ἁγνὴ τὸν αὐχένα ὑπέκλινας, καὶ τὴν κάραν σου, ἀπετμήθης καὶ εἴληφας ἀξίως τῆς ἀθλήσεως τὸ στέφος, ἅτε νομίμως ἀθλήσασα.

Στίχος Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Τῶν βασάνων αἱ λαίλαπες, τῆς ψυχῆς σου οὐκ ἔσεισαν, τὸν πύργον τὸν ἄσειστον καὶ ἀκλόνητον, μάρτυς Μαρκέλλα στερρόψυχε. ἀλλ' ἔμεινας ἄτρεπτος, ἐπὶ πέτραν στερρὰν, τοῦ τὰ πάντα ἰσχύοντος καὶ συνέχοντος, θερμὴν ὄντως διό σε πανολβία, πρέσβυν εἰς Θεὸν πλουτοῦμεν, οἱ σὲ τιμῶντες ἐν ᾄσμασι .

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Ἐφοινίχθης τοῖς αἵμασι, τῆς σαρκὸς ἀοίδιμε, ἅπερ ἐξεχύθησαν καὶ γεγόνασι' τῶν ἀσθενούντων ὡς φάρμακα, ποικίλας ἰώμενα, ἀσθενείας τῶν βροτῶν ὦ Μαρκέλα πανεύφημε, ὅθεν ἵσταμαι, τῇ σορῷ τῶν λειψάνων καὶ βοῶ σοι, Καλλιμάρτυς τοῦ Κυρίου, κἀμοὶ τὴν ἴασιν δώρησαι. Δόξα. Ἦχος β'.

Παρθενικοῖς αἵμασι, ἀθληφόρε Μαρκέλλα φοινιχθεῖσα, τῷ οὐρανίῳ Νυμφίῳ πάγκαλλος Νύμφη ἀνεδείχθης, ὑπὲρ οὗ τὰς αἰκίας, παρὰ τοῦ σοῦ ἀνοσίου πατρὸς, ὑπήνεγκας πανθαύμαστε, καὶ τὴν ἐρίτιμόν σου κεφαλὴν, ὑπὲρ τηρήσεως ἀκριβοῦς τοῦ θείου νόμου σὺν τοῖς μαστοῖς ἀπετμήθη, ἐλέγχουσα αὐτοῦ τὸ τῆς ἀκολασίας ξενήκουστον τόλμημα· ὅθεν ὡς παρθένος, μετὰ τῶν φρονίμων συναγάλλῃ παρθένων, καὶ ὡς τοῦ νόμου φύλαξ ἀκριβὴς, μετὰ τῶν Μακκαβαίων καὶ θείου Προδρόμου συνδοξάζῃ, μεθ' ὧν πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Μαρία Θεοτόκε, ὁ Ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δὲ ὁ ἅγιος, καθὼς βοᾷ ὁ Προφήτης, «ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ».

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια ἦχος πλ. δ' Ὢ τοῦ παραδόξου θαύματος.

Χριστοῦ φανέντος τοῖς ἴχνεσιν, ἀκολουθοῦσα σεμνή, καὶ αὐτὸν θεραπεύουσα, γνώμης προθυμώτατα, Μυροφόρε εὐθύτητι, οὐδὲ θανόντα τοῦτον κατέλιπες, ἀλλ' ἀπελθοῦσα μῦρα

σὺν δάκρυσι, τούτῳ προσήνεγκας, συμπαθῶς πανεύφημε, ὅθεν τὴν σήν, μνήμην τὴν πανίερον, πανηγυρίζωμεν.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῆς

Σὺ ὦ Μαρία ὑπέρλαμπρε, βλέψαι ποθοῦσα ζωήν, νεκροθεῖσαν ἐν μνήματι. νυκτὸς παραγέγονας, καὶ Ἀγγέλων ἀκήκοας, καθὼς προέφη, Χριστὸς ἐγείγερται. Σπουδῇ τοῖς τούτου, Μαθηταῖς φάσκουσα, καὶ τὴν κατήφειαν, ἐκ ψυχῆς ἀπώσασα, ἀντὶ κλαυθμοῦ, χαρὰν ἀνεκλάλη ον, σεμνὴ ἀνείληφας.

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ

Σήμερον πιστοὶ γηθόμενοι, ἐπὶ τῇ μνήμῃ τῇ σῇ, Μυροφόρε δοξάζομεν. τὸν σὲ νῦν δοξάζοντα, ὑπεράγαθον Κύριον, ὃν ἐκδυσώπει, ἀπαύστως πάνσεμνε, αἰωνιζούσης δόξης τυχεῖν ὑμᾶς, καὶ τῆς λαμπρότητος, τῶν Ἁγίων ἔχουσα, τὴν πρὸς αὐτόν, παρρησίαν πάντοτε θεομακάριστε.

Δόξα, ἦχος πλ δ' Βυζαντος

Τῷ ἑκουσίως πτωχεύσαντι τὴν πτωχείαν τὴν ἐμήν, ὑπερβολῇ εὐσπλαγχνίας, Χριστῷ τῷ Θεῷ, ἡ Μαγδαληνὴ Μαρία, ὡς μαθήτρια πιστῶς διακονήσασα, ἐπὶ ξύλου τεθέντα, καὶ τάφῳ συγκλεισθέντα, κατιδοῦσα ἐβόα δακρυρροοῦσα. Τί τὸ ξένον θέαμα: Ὁ νεκροὺς ζωοποιῶν, πῶς νεκρὸς λογίζεται; Ποῖα μῦρα κομίσω· τῷ ἀπαλλάξαντί με δυσωδίας τῶν δαιμόνων; Ποῖα δάκρυα χέω, τῷ δακρύων τὴν ἐμὴν μεταμφιάσαντι προμήτορα; Ἀλλ' ὁ τοῦ σύμπαντος Ἄναξ, ὡς Παραδείσου φύλαξ φανείς, δροσισμῷ τῶν αὐτοῦ ρημάτων, τὸ καύσωνα ἀφανίζει, λέξας πρὸς αὐτήν· Τοῖς ἀδελφοῖς μου πορευθεῖσα, εὐαγγέλια χαρᾶς ἀναβόησον· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ἡμῶν, καὶ Θεόν μου καὶ ἡμῶν, ὅπως παράσχω τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ νῦν Θεοτοκίον

Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Μετά, τὸ νῦν ἀπολύεις. τὸ Τρισάγιον, καὶ τὸ Ἀπολ. Ἦχος πλ α'
Τὸν συνάναρχον.

Τὸν συνάναρχον λόγον καὶ ὁμοούσιον, τὸν ἐκ Παρθένου τεχθέντα κατηκολούθησας, σεμνὴ Μαγδαληνὴ πανᾀοίδιμε, καὶ αὐτοῦ τὰς ἐντολὰς καὶ τοῖς ἴχνεσι πιστῶς, προσέδραμες μακαρία· Διὸ πλουτοῦμέν σε οἱ τιμῶντες, τὴν μνήμην σου πρέσβυν ἄριστον.

Δόξα τῆς Ἁγίας Μαρκέλλης ἦχ. α' τοῦ λίθου σφραγισθέντος.

Τοῦ Κυρίου τοῖς νόμοις, καὶ τοῖς θείοις διδάγμασι, πειθομένη Μαακέλλα καὶ ἀμέπτως φυλάττουσα, τὴν βίαν πτοηθεῖσα τοῦ πατρός ὡς νύμφη ἀκύρατε Χριστοῦ, ἐν τοῖς ὄρεσιν ηὐλίζου, ἐν οἷς διώκων εὑρίσκει καὶ ἐκτείνει σε· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα. Καὶ νῦν Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ πιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου. Τέλος τοῦ Ἑσπερινοῦ.

Εἰς τὸν ὄρθρον τὰ Καθίσματα τῆς Ἁγ. Μαγδαληνῆς ἦχος α'
Τὸν τάφον σου Σωτὴρ

Χριστῷ τῷ δι' ἡμᾶς ἐκ Παρθένου τεχθέντι, σεμνὴ Μαγδαληνή, ἠκολούθης Μαρία, αὐτοῦ τὰ δεκαιώματα καὶ τοὺς νόμους φυλάττουσα ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἀνευφημοῦμέν σε πίστει, καὶ πόθῳ γεραίρωμεν.

Δόξα τῆς Ἁγ. Μαρκέλης ἦχος ὁ αὐτὸς

Εἰς τὴν Β' Στιχολογίαν τῆς Ἁγ. Μαγδαληνῆς ἦχος πλ β'.

Τοῦ τάφου ἀνεωγμένου, τοῦ Ἅδου ὀδυρομένου, ἡ Μαρία ἐβόα πρὸς τοὺς κεκρυμμένους ἀποστόλους. Ἐξέλθετε οἱ τοῦ ἀμπελῶνος ἐργάται κηρύξατε τὸν τῆς Ἀναστάσεως λόγον. Ἀνέστη ὁ Κύριος παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα τῆς Ἁγίας Μαρκέλλης, ἦχος δ' ὁ ὑψωθείς.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα ἦχ. πλ β' τῆς Ἁγ. Μαγδαληνῆς.

Κύριε παρίστατο τῷ τάφῳ σου Μαρία ἡ Μαγδαληνή, καὶ ἔκλαιε βοῶσα, καὶ κηπουρόν σε νομίζουσα ἔλεγε· Ποῦ ἔκρυψες τὴν αἰώνιον ζωήν; ποῦ ἔθηκας τὸν ἐπὶ θρόνου Χερουβίμ; οἱ γὰρ τοῦτον φυλάσσοντες, ἀπὸ τοῦ τάφου ἀπενεκρώθησαν. ἢ τὸν Κύριόν μου δότε μοι, ἢ σὺν ἐμοὶ κραυγάσατε, ὁ ἐν νεκροῖς καὶ τοὺς νεκροὺς ἀναστήσας δόξα σοι.

Δόξα τῆς Ἁγίας Μαρκέλλης εἰς ἦχ. ά. Τὸν τάφον σου Σωτὴρ Θεοτόκε Παρθένε. Ἡ εὐλόγησις τῶν ἄρτων, καὶ Ἀπόλυσις. Εἰς τὸν Ὄρθρον, μετὲ τὴν ά. Στιχολογίαν Κάθισμα, Ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Ρανίσι τῶν σεπτῶν, καὶ πανάγνων αἱμάτων ἀπέπνιξας σοφή, Ἀθληφόρε Μαρκέλλα, βελίαρ τὸν κάκιστον, ἐκχυθέντων σαρκίου σου· ὅθεν εἴληφας, παρὰ Θεοῦ στέφος δόξης· διὸ πρέσβευε, ὑπὲρ ἡμῶν πρὸς τὸν Κτίστην, Μαρτύρων ὁμότροπε.

Δόξα, Καὶ νῦν, Θεοτοκίον.

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Παρθένε, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

Μετὰ τὴν β'. Στιχολ. Κάθ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ταῖς τῶν βασάνων τρικυμίαις Μαρκέλλα, οὐκ ἐποντίσθης, ἀλλ' ἐν ὅρμῳ ἀκλύστῳ κυβερνωμένη χάριτι ἐνθέῳ Χριστοῦ, ἔφθασας πανόλβιε, ὡς Παρθένος καὶ Μάρτυς, ἔνθα τὴν ἀτάραχον, εὗρες ὄντως γαλήνην, ὑπὲρ ἡμῶν πρεσβεύουσα Χριστῷ, τῶν μετὰ πόθου τελούντων τὴν μνήμην σου.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τί ἐξειπεῖ δυνήσεται Πανάμωμε; τὰς ἐπαναστάσεις δὲ τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν; ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἀγαθή, τούτων μοι πάντων, τὴν λύτρωσιν δώρησαι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.



Μαρκέλλης τὴν σεπτήν, ἑορτάσωμεν μνήμην, ἀπήμβλυνε καὶ γάρ, νοῦ βελίαρ τὰ κέντρα, καὶ στέφος ἀπείληφεν, ἐκ Θεοῦ τῆς Ἀθλήσεως, ᾧ παρίσταται, μετὰ Ἀγγέλων ἐν δόξῃ, καὶ πρεσβεύουσα, οὐ διαλείπει σωθῆναι, τοὺς πόθῳ τιμῶντας αὐτήν.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Φωτίσου ἀγαθή, τὴν ἐν σκότει ψυχήν μου, καταύγασον Ἁγνή, καὶ τὴν πώρωσιν λῦσον καὶ δίδαξον πράττειν με, τοῦ υἱοῦ σου τὸ θέλημα, ὅπως ἄφεσιν τὴν τῶν πολλῶν μου πταισμάτων, εὕρω Πάναγνε, καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου, ρυσθῶ ταῖς πρεσβείαις σου.

Οἱ Ἀναβαθμοί, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἦχου. Τὸ προκείμενον. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ. Στίχος Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Εἶτα τὸ Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Ὁ Ν'. Δόξα, Ταῖς τῆς Ἀθληφόρου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Τὸ ἰδιόμελον, ζήτει εἰς τὸν Στίχον ἦχος β'. Παρθενικοῖς αἵμασιν. Ὁ Κανὼν τῆς Ἁγίας.

Ὠδὴ ά. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀνόσιον βούλημα, ἀπωσαμένη ἀοίδιμε, πατρὸς καὶ παμβέβηλον, ἔλαβες θάνατον, ὅθεν εἴληφας, σνεφάνους τοὺς τῆς νίκης, παρὰ τοῦ θεσπίσαντος ὅρους τῆς φύσεως.

Βαφεῖσα πανεύφημε, τῆς τῶν αἱμάτων ραντίσμασι, τῷ Κτίστῃ προσήνεξαι, ὡς Νύμφη ἄσπιλος, καὶ ἀμώμητος, Μαρκέλλα καλλιμάρτυς, εἰς τὰ ὑπερκόσμια αὐτοῦ βασίλεια.

Γνοῦσα τὴν ἀθέμιτον, τοῦ σοῦ τεκόντος διάνοιαν, Μαρκέλλα πανθαύμαστε, καὶ ψυχολέτηρα ἔξω ἔφυγες, τοῦ οἴκου καὶ ηὐλίζου, ἐρήμοις ἐν ὄρεσι, Θεῷ σχολάζουσα

Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι, ἐπιφανεὶς ὁ φιλάνθρωπος, ἐκ σοῦ παναμώμητε, κόσμον διέσωσεν, ἀπολλύμμενον, καὶ πλάνῃ ὑπαχθέντα· ὅθεν σὲ γεραίρομεν καὶ μακαρίζομεν.

Καταβασία Χοροὶ Ἰσραήλ. Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Δολίως σατᾶν συλῆσαι θέλων, τὸν πλοῦν ψυχῆς σου ὦ σεμνὴ τὸν σὸν τοκέα ἤγειρε τῆς παρθενίας φθεῖραί σου, ἄνθος ὦ Μαρκέλλα ἔνδοξε, ἀλλ' ἡττήθη, καὶ πέπτωκεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΝΤΟΡΗΣ ΠΑΠΑ

Ἐνδέδειξαι Νύμφη τῷ Κυρίῳ, ὡραία Μαρκέλλα τῇ στολῇ τῇ πορφυρᾷ τοῦ αἵματος, ὅπερ ἁγνῶς ἐκκέχυται. ἐκ τοῦ σεμνοῦ σαρκίου σου, Παρθενομάρτυς ἀείμνηστε.

Ζωὴν τὴν ἀΐδιον ποθοῦσα, προέκρινας θάνατον ζωῆς, ἡ μὲν γὰρ τάχ.ς λύεται, ὁ δὲ τὴν αἰωνίζουσαν, Μάρτυς ζωὴν προὐξένησε, καὶ ἀφθαρσίας τὸν στέφανον.

Θεοτοκίον.

Νεφέλη ὑπάχεις λευκοτάτη, σταγόνας πιστοῖς, ἐξ οὐρανοῦ ὀμβροῦσα καὶ ἀνίσχουσα, δικαιοσύνης ἥλιον, ὅστις τὸ σὸν ἀξίωμα πάντων ὑπέρτερον ἔδειξε.

Καταβασία. Τόξον δυνατὸν ἠσθένησε.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Τῆς Μαρκέλλης τὴν πάλιν ἀναπολῶν, καὶ τοὺς ἐκπλήττομαι κατὰ νοῦν, πῶς τὸ θῆλυ ἴσχυσε, καὶ γενναίως ἠνδρίσατο, τοῦ Σατὰν τὸ θράσος, νικῆσαι καὶ φρύαγμα, τοῦ Χριστοῦ τῇ χάριτι, τοῦ πλάστου τῆς φυσεως· ὅθεν ἀνυμνοῦντες τὴν αὐτῆς πάντες νίκην, συμφώνως βοήσωμεν, πρὸς αὐτὴν μετὰ πίστεως, Ἀθληφόρε πανεύφημε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑρτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, Καὶ νῦν, Θεοτοκίον.

Παναγία Παρθένε, Μῆτερ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι. τῶν ἐμῶν πταισμάτων,, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμολύνας ὁ ἄθλιος· οἴμοι τί ποιήσω ; ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχὴν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος ; τότε Δέσποινα, βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλος σου.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ἥβην ἐπανθοῦσαν Μαρκέλλα σεμνή, ἔχουσα ἀθλήσεως ἤνυσας, δρόμον δι' ὅπερ, νῦν παρίστασαι Θεῷ, οὗ ἔρως σὴν κατέφλεξε, ψυχὴν καὶ καρδίαν ἀοίδιμε.

Θάλασσαν ἐξέφυγες τῶν παθῶν, τῶν πολυταράχων καὶ ἔδραμες, ἐν τῷ λιμένι, τῷ ἀκλύστῳ τοῦ Θεοῦ, ἔνθα μαρτύρων τάγματα, πέλουσι Μαρκέλα πανέντιμε.



Ἰὸν τὸν τοῦ ὄφεως, ὅνπερ Ἀδάμ, πόθῳ τῆς θεώσεως πέποκε, Μάρτυς Μαρκέλλα, μὴ ποιοῦσα ὡς σοφὴ αὐτὸν πανσόφως ᾔσχυνας ὅθεν σου τὴν μνήμην γεραίρομεν. Θεοτοκίον.

Ἡ πανυπερθαύμαστος Μήτηρ Θεοῦ, λάμψον μετανοίας ἀκτῖνα μοι, λῦσον τὸν ζόφον, τῶν ἀμέτρων μου κακῶν, τοὺς πονηροὺς ἀπέλασον, κόρη λογισμοὺς τῆς καρδίας μου.

Καταβασία. Εἰσακήκοα τὴν ἔνδοξον.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Κρήνην σε γινώσκομεν, Μαρκέλλα παμμακάριστε, σώζουσαν τοὺς δίψει ἐκκαέντας, ὅθεν σὺν πόθῳ τῇ σῇ σορῷ ἑστηκώς, δέχομαι τὴν ἴασιν παθῶν, ψυχῆς τε καὶ σώματος, ὡς γλυκύρροα νάματα

Λιμένα ἀτάραχον οἱ ἐν πηλάγει πάνσεμνε, ὄντες τῆς ἐπικήρου ζωῆς, ἔχομεν πάντες, τὸν σὸν Μαρκέλλα Ναόν, ὅνπερ σοὶ ἐδείματο λαός, πόθῳ ὁ χριστώνυμος εἰς σὴν δόξαν καὶ αἴνεσιν.

Μώμους ἀπεδίωξας, ὁλοτελῶς ἀοίδιμε, ἐκ τῆς καθ ρᾶς σου διανοίας, οὓς ὁ ἐντάρτης αὐτῇ ἐνέβαλε, καὶ γέγονας ἔμψυχος Ναός, ὅνπερ εἰσῳκίσατο, ἡ Τριὰς ἡ ἀείφωτος.

Θεοτοκίον.

Ἑώρακε πάλαισε, ὡς θεῖον τόμον ἄχραντε, ἔνθεος προφήτης ἐν ᾧ λόγος, ἐγράφη ἔνδον, πατρὸς εἰς κόσμου χαράν, καὶ ἔσωσε πάντας ὡς Θεός. πίστει προσκυνοῦντας σου, τὴν ἀπόρρητον

Καταβασία. Ὁ τοῦ φωτὸς διατμήξας

Ὠδὴ ς'. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Νικᾶται δύναμις ἅπασα, δαιμόνων καὶ ἐχθρῶν τῇ ἰσχύϊ του ὅθεν δεόμεθα, τὴν νῆσον περίζωσε, ἡμῶν Μαρκελλα ἔνδοξε, ταῖς πρεσβείαις σου.

Ξενίζει πάντας ἀοίδιμε, τὸ ὕδωρ τὸ ἐκ πέτρας χεόμενον, ἥ σε ἐδέξατο, καὶ νῦν τὸ σῶμα καλύπτει σου, τέρατα καὶ σημεῖα τελοῦν ἑκάστοτε.

Ὁ διαρρήξας καὶ σώσας σε, τὴν πέτραν ἐκ τοῦ ἄγους ἀμόλυντον, πατρῴας μίξεως, Θεὸς Μαρκέλλα ἐδόξασε, θαυμάτων ἐνεργείαις καὶ ἐμεγάλυνεν.

Θεοτοκίον.

Ἡ μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι, καὶ χεῖρα ὄρεξον, καὶ πρὸς λιμένα ἐμβίβασον, τῆς σωτηρίας Κόρη θεοχαρίτωτε.

Κοντάκιον τῆς 'Αγ. Μαγδαλινῆς ἦχος δ'. 'Ο ὑψωθείς.

'Ο ὑπερούσιος Θεὸς ἐν τῷ κόσμῳ, μετὰ σαρκὸς ἐπιφητῶν Μυροφόρε, σὲ ἀληθῆ μαθήτριαν προσήκατο, ὅλην σου ἔφεσιν πρὸς αὐτὸν κεκτημένην. ὅθεν καὶ ἰάματα, ἀπετέλεσας πλεῖστα, καὶ μεταστᾶσα νῦν ἐν οὐρανοῖς, ὑπὲρ τοῦ κόσμου πρεσβεύεις ἑκάστοτε.

Καὶ τῆς 'Αγ. Μαρκέλλης ἦχ. δ' 'Η Παρθένος σήμερον

Τῇ 22 'Ιουλίου, Μνήμη τῆς 'Αγίας Μυροφ'ρου καὶ 'Ισαποστόλου Μαρίας τῆς Μαγδαλινῆς, καὶ τῆς 'Αγίας ἐνδόξου Παρθενομάρτυρος Μαρκέλλης τῆς Χιοπολίτιδος

Καταβασία. 'Εν τῷ θλίβεσθαί με.

Κοντάκιον. Ἦχος γ'. 'Η παρθένος σήμερον.

'Η λαμπρά σου Ἄθλησις, ὦ καλλιμάρτυς Μαρκέλλα, τῶν πιστῶν ἐφέδρυνε τὰς διανοίας ἐνθέως. θάνατον τοῦ ζῆν ἀνόμως προκρίνειν πάντας, πείθουσα, καὶ γὰρ ἐτμήθης ξίφει τὴν κάραν σὺν μαστοῖς ὑπὸ πατρώας, χειρὸς ὢ δράμα ὑπὲρ τοῦ νόμου Χριστοῦ. 'Ο Οἶκος.

Δεῦτε οἱ φιλήκοοι, ἀκούσατε καινοὺς καὶ δυσαντίτους ἄθλους τε καὶ ἀγῶνας, οὕς περ ἡ τοῦ Χριστοῦ ἄμωμος Νύμφη Μαρκέλλα, παρὰ το ἀνωσίου αὐτῆς πατρὸς, ἐν τῇ Χίῳ Νήσῳ, ἐν Κώμῃ Βολισσῷ ἠγώνισται, ἔνθα μέχρι τοῦ νῦν ἐρυθρὸς ὁ τῆς θαλάσσης ἀφρὸς ἐν ταῖς ἀκταῖς ὁρᾶται, εἰς δήλωσιν τοῦ ἐκχυθέντος παρθενικοῦ αὐτῆς αἵματος· θέλων γὰρ ὁ ἐναγὴς καὶ ἀνόσιος πατὴρ παρανόμως συμμίγνυσθαι αὐτῇ, οὐκ ἠνέσχετο ἡ ἀοίδημος, ὅθεν φεύγουσα καὶ ὑπ' αὐτοῦ διωκομένη, ἔλαβε θάνατον ὑπὲρ σωφροσύνης, χερσὶ πατρικαῖς ἀπατμηθεῖσα σὺν τοῖς μαστοῖς, καὶ τὴν ἐρίτιμον αὐτῆς κεφαλήν· διὸ στέφει οὐρανίῳ ἐστέφθη, ὡς ἀθλήσασα ὑπὲρ τοῦ νόμου Χριστοῦ.

Τῷ αὐτῷ Μηνὶ 22 Τῆς 'Αγίας Παρθενομάρτυρος, καὶ 'Αθληφόρου τοῦ Χριστοῦ Μαρκέλλης τῆς ἐκ τῆς Νήσου Χίου.

Πότμον ὑπέστην ἀδικόθυτον Σῶτερ.
'Εξ ἀδίκου φεύγουσα μιγῆς πατρώας.
Τὸν Δαβὶδ ἀκούσασα Σωτήρ μου λόγον,
'Αδικίαν φάσκοντα ἐβελυξάμην.
Εἰς νοῦν δὲ τὸν Λὼτ θυγατρογάμον φέρω.
Οἷα πέπονθε πράττων αἰσχύνης δράμα,



Βέλει τέτρωμαι ἐκ πατρὸς μιαιφόνου (1).

Αὕτη ἡ 'Αγία Παρθενομάρτης καὶ 'Αθληφόρος τοῦ Χριστοῦ Μαρκέλλα, περίπου τοὺς τριακοσίους χρόνους (2) γνωρίζεται καὶ κηρύττεται 'Αγία καὶ Μάρτυς εἰς τὴν Νῆσον Χῖον· καὶ Ναὸς εὑρίσκεται τιμώμενος εἰς τὸ θεῖον αὐτῆς ὄνομα, καὶ θαύματα πολλὰ ἐτέλεσε, καὶ τελεῖ εἰς τοὺς μετὰ πίστεως καὶ εὐλαβείας ζητοῦντας τὴν μαρτυρικὴν αὐτῆς χάριν καὶ ἀντίληψιν εἰς τὰς χρείας των· ἀλλ' ἐπειδὴ ὁ Ναός της εἶναι παράμερα εἰς μίαν ἄκραν τῆς Νησου, καὶ ἡ ἱστορία της δὲν ἐδόθη εἰς τύπον, καὶ οὕτω να κηρυχθῇ καὶ νὰ φανερωθῇ πανταχοῦ, διὰ τοῦτο λαβόντες ἡμεῖς τὰς εἰδήσεις τῆς ἱερᾶς αὐτῆς ἱστορίας ἀπὸ ἕνα σύντομον καὶ 'Ελληνιστὶ συννεθειμένον ὑπόμνημα, παλαιοῦ τινος συγχρόνου τῆς 'Αγίας, ἤδη πρῶτον τὴν κηρύττομεν πρὸς πάντας καὶ ἐντοπίους καὶ ξένους, ὑποσημειοῦντες ἐν μέρει καὶ ὅσα ἀμέσως ἐγνωρίσαμεν περὶ τοῦ τερατουργοῦ ὕδατος, ὅπου ἐκβλύζει ἀπὸ τὸν τόπον τῆς ἀποτομῆς της, προσθέντες ἔτι καὶ ἐκ τῶν νέων της θαυμάτων, τὰ πλέον φανερὰ καὶ γνωστὰ πρὸς τοὺς πλησιοχώρους.

'Η μακαρία λοιπὸν αὕτη, καὶ ἄσπιλος Νύμφη τοῦ Χριστοῦ ἦτον ἀπό τὴν Νῆσον Χίον, ἀπὸ ἕνα χωρίον τοῦ ἐπάνω μέρους καλούμενον Βολισσὸν. τῶν γονέων της τὲ ὀνόματα δὲν μᾶς τὰ ἐφανέρωσε κἀμία ἱστορία. οὐδὲ ἐκ παραδόσεως τὰ ἠξεύρομεν· ἦσαν ὅμως Χριστιανοὶ, πλουσιώτεροι καὶ ἐπισημότεροι τῶν ἄλλων τοῦ χωρίου· ἀλλ' ἀποθανούσης τῆς μητρὸς αὐτῆς νέας τὴν ἡλικίαν, ἔμεινεν ὀρφανὴ ἡ Μαρκέλλα, καὶ ἀνετρέφετο ὑπό τοῦ πατρὸς. Ἔχουσα δὲ ἐκ πρώτης ἡλικίας ἀγαθὴν προαίρεσιν καὶ καλὴν παιδαγωγίαν ἀπὸ τὴν μητέρα της. ἦτον καὶ ἐφαίνετο ἡ εὐλογηγένη σεμνοτάτη. καὶ κατὰ πάντα εὔτακτος καὶ κοσμία· τῆς δὲ ἡλικίας αὐξανούσης, συνηύξανον καὶ τὰ πρῶτα ἐκεῖ

(1) Οὗτοι οἱ στίχοι εὕρηνται ἐν μαρμάρῳ κεχαραγμένοι, ἐν τῷ Ναῷ τῆς 'Αγίας Μαρκέλλης, ὡς τὰ πάτρια τῆς Χίου συλλέξας γράφει,

(2) 'Ο ποιητὴς τῆς ἀκολουθίας τῆς 'Αγίας Μαρκέλλης, λέγει ἔν τισι τροπαρίοις ὅτι συνδοξάζεται αὕτη, μετὰ 'Ισιδώρου καὶ Μυρώπης, καὶ τῆς 'Οσίας Ματρώνης, τῶν ἐν Χίῳ προδιαλαμψάντων καὶ προστατῶν αὐτῆς ἀναφανέντων, ἡ δὲ 'Αγία Ματρώνα πρὸς Κύριον ἐξεδήμησεν εἰς τοὺς αυξβ'. 1462 χρόνους ἀπὸ Χριστοῦ. Λοιπὸν συμπεπαίνομεν στοχαστικῶς, ὅτι ἡ 'Αθληφόρος Μαρκέλλα ἤκμαζε περίπου τοὺς αφ'. 1500, ὅτι δὲν τὴν ἐνθυμοῦνται οὔτε οἱ πάπποι, οὔτε οἱ προπάπποι τῆς παρούσης γενεᾶς.

να καλά, καί ἄλλα νέα προσεγίνοντο, διότι πολλὴν σπουδὴν καὶ ἐπιμέλειαν ἐδείκνυε εἰς τὴν θείαν εὐαρέστησιν, νηστεύουσα, προσευχομένη. ἐλεοῦσα τοὺς χρείαν ἔχοντας καὶ ἄλλας ἀγαθοεργείας ποιοῦσα, καὶ φυλάττουσα ἀκριβῶς τὰς ἐντολὰς τοῦ Κυρίου ἡ ἀοίδιμος. Ἀλλὰ ταῦτα βλέπων ὁ μισόκαλος καί κοινὸς ἐχθρὸς τῆς τῶν ἀνθρώπων σωτηρίας, ἐφθόνησε. καὶ ἤθελε νὰ τὴν πολεμήσῃ, μὴν ὑποφέρων νά καταπατῇ τὴν δύναμίν του μία νέα καὶ ἀπαλὴ κόρη, καὶ μάλιστα χωρικὴ καὶ ἀγράμματος, μηδὲν ἄλλο ἠξεύρουσα, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον· ἐφθόνησε λέγω, καὶ ἤθελε νά τὴν πολεμήσῃ, καὶ ἂν δυνηθῇ νά τὴν ρίψῃ εἰς τὸν βαθύτατον λάκκον τῆς ἁμαρτίας, ἐκείνην, ἥτις ἐφαίνετο, καί ἦτον τῇ ἀληθείᾳ ὑψηλὴ καὶ ἀνωτέρα τῶν πολλῶν κατὰ τὴν ἀρετήν. Πλὴν νὰ πολεμήσῃ ἀμέσως ἐκείνην, σπείρων δηλαδὴ πονηρούς λογισμοὺς εἰς τὴν καθαρὰν καὶ θεόφρονα της διάνοιαν, καὶ οὕτω νὰ τὴν νικήσῃ, τὸ ἐστοχάσθη ὁ πονηρὸς ἀδύνατον, ὅτι ἀγκαλὰ καί ἦτον νέα εἶχεν ὅμως γεροντικὸν καὶ ἀνδρεῖον φρόνημα, καὶ δέν ἦτον θυγάτηρ τῆς προμήτορος Εὔας εἰς τὸ νὰ ἀνοίγῃ μετὰ χαρᾶς τὰς ἀκοὰς της εἰς τοὺς δολίους ἐκείνους ψιθυρισμούς· ὅθεν παραιτεῖται ὁ μιαρὸς ὡς ἀσθενὴς, ἀπὸ τὸν πρὸς αὐτὴν ἄμεσον πόλεμον, δὲν τὴν ὑψόνει εἰς ὑπερηφάνειαν, ὡς πλουσιωτέραν καὶ ὡραιοτέραν τῶν ἄλλων. δέν τῆς ἀνάπτει τὰς τῆς νεότητος ἐπιθυμίας, οὔτε ἄλλο τι ἐκ τῶν βελῶν αὐτοῦ δὲν ρίπτει κατ' αὐτῆς, ἐπειδὴ ὅποιον κακόν καὶ ἂν ἦτον ἐκεῖνο ὅπερ ἤθελε τὴν παρακινήσει νὰ κάμῃ ἤθελεν εἶνε μέτριον καὶ μικρὸν, καὶ ὄχι μέγα καί ἀνήκουστον, ὡσὰν ἐκεῖνο ὅπερ, εἰς ὅλον τὸ ὕστερον, ἠγωνίσθη ὅλαις δυνάμεσι νὰ κατορθώσῃ, ἀλλ' ἔμεινε κατῃσχυμένος, ἐπειδὴ ἀπετυχεν ὁ παμμίαρος, καθὼς ἀκολούθως θέλομεν εἰπεῖ.

Τὶ δὲ ἦτον τὸ μέγα κακὸν, καὶ ἀνίκουστον εἰς τοὺ. Χριστιανοὺς, εὑρὼν τὸν πατέρα της φαυλόβιον, καὶ τῆς θείας χάριτος ἔρημον, κινεῖ καὶ διεγείρει αὐτὸν εἰς σαρκικὸν ἔρωτα αὐτῆς τῆς ἰδίας του θυγατρός· φεῦ τῆς κακίας καὶ πονηρίας τοῦ διαβόλου! φεῦ τῶν πονηρῶν αὐτοῦ μηχανημάτων ! τὴν μὲν Εὔαν ἠπάτησε διὰ τοῦ ὄφεως, ἐπειδὴ ἦτον συνειθισμένος ἐκεῖνος νὰ εἰσέρχηται συχνὰ εἰς τὸν Παράδεισον, τὴν δὲ Μ ρκέλλαν ἐδοκίμασε νὰ ἀπατήσῃ μὲ τὸ μέσον τοῦ πατρός της, ἐπειδὴ ἦτον νύκτα καὶ ἡμέραν ἀχώριστοι, ὡς πατὴρ καὶ τέκνον. Τιτρώσκει καὶ πληγόνει αὐτὸν, ὡσὰν μὲ σαίτας φαρμακερὰς, μὲ τὸ κάλλος τῆς



κόρης· ὅθεν ἀρχίζει ὁ μιαρὸς νὰ τὴν βλέπῃ μὲ ἀκολάστους ὀφθαλμοὺς, καὶ ἐκ τῆς θεωρίας, τοῦ ἔρχονται αἰσχραὶ προσβολαὶ, καὶ ἐκ τῶν προσβολῶν συνδυασμοὶ, καὶ ἐκ τῶν συνδυασμῶν συγκαταθέσεων, καὶ ἐκ τῶν συγκαταθέσεων, ἤρχισε καὶ νὰ ἀποτολμᾷ εἰς τὴν ἀθεσμοτάτην πρᾶξιν τῆς ἁμαρτίας, ἤγουν ἀπετόλμησεν ὁ ἀνόσιος νὰ λέγῃ πάντῃ αὐθαδῶς καὶ ἀνεσχύντως πρὸς τὴν θυγατέρα δαιμονικὰ λόγια, διὰ νὰ τὴν φέρῃ εἰς τὴν πονηρὰν αὐτοῦ γνώμην, καταφρονῶν καὶ θείους καὶ ἀνθρωπίνους νόμους, μὲ σκοπὸν νὰ τὴν ἔχῃ, ὢ τόλμης βαρβαρικῆς καὶ ἀθέου! νὰ τὴν ἔχῃ λέγω καὶ θυγατέρα καὶ γυναῖκά του !. Ἐταράχθη, ἔφριξεν ἡ σωφρονεστάτη Μαρκέλλα, οὔτε κἂν νὰ τὸν καλοακούσῃ ὑπέμεινε. Τί λοιπόν ; ἐπιχειρεῖ καὶ βιαίως ὁ ἀπάνθρωπος πατήρ· ἡ δὲ φρόνιμος κόρη τὴν βίαν φοβηθεῖσα, ἔφυγεν ἀπὸ τὴν πατρικήν της οἰκίαν, καὶ ἀπὸ τὸ χωρίον, καὶ ὡσὰν νὰ ἐδιώκετο ἀπὸ Μαξιμιανοὺς, ἢ διοκλητιανούς ἢ Δεκίους, τοὺς ἀθέους ἐκείνους τυράννους, ἔφυγεν εἰς τὰ ὄρη, καὶ διέτριβεν ἐκεῖ κρυπτομένη, καὶ παρακαλοῦσα τὸν νοητὸν αὐτῆς νυμφίον Χριστὸν, νὰ τὴν σκεπάσῃ καὶ νὰ τὴν φυλάξῃ ἀμόλυντον. Τὶ δὲ ὁ κάκιστος πατήρ ; τάχα ἦλθεν εἰς τὸν ἑαυτόν του ; τάχα ἐντράπη διὰ τὴν ἀποστροφὴν τῆς θυγατρός του ; τάχα ἐσωφρονίσθη ; ὄχι τὸ ἐναντίον μάλιστα ἔγινεν· ὅτι κατὰ τὸν Ἰουδαῖον Φίλωνα, ὅταν ὁ πονηρὸς οὗτος ἔρωτας, δὲν ἠμπορῇ νὰ τελειωθῇ, δὲν παύει, ἀλλὰ περισσότερον αὐξάνει· «ἀποτυγχανόμενος ἔρως, οὐ μετρίως ἐπιτείνεται»· ὅθεν ἀποτυχὼν καὶ αὐτὸς ὁ ἀνόσιος, πλέον ἤναψεν ἀπὸ τὰς φλόγας τοῦ σατανικοῦ ἔρωτος· ἐπαραφρόνησεν, ἐδαιμονίσθη καὶ εὐγῆκε ζητῶν αὐτὴν εἰς τὰ βουνά. Ἡ δὲ μακαρία Μαρκέλλα, ἰδοῦσα τοῦτον μακρόθεν, καὶ νομίζουσα πῶς ἐκεῖ δὲν τὴν εἶδε, τρέχει τὸ ὀγλυγωρότερον εἰς ἕνα παραθαλάσσιον τόπο, καὶ κρύπτεται μέσα εἰς μίαν μεγάλην βάτον· δὲν τὸν ἐλάνθασεν ὅμως, τὴν εἶδε. Λοιπὸν τρέχει καὶ αὐτὸς ἐκεῖ, καὶ μὴ δυνάμενος νὰ εἰσέλθῃ εἰς τὴν βάτον, διὰ τὴν πολλήν της πυκνότητα, ἔβαλε πῦρ εἰς αὐτὴν ὁ σκληροκάρδιος καὶ θηριογνώμων, διὰ νὰ τὴν βιάσῃ νὰ εὐγῇ ἔξω, ἢ ἐὰν δὲν γείνῃ τοῦ νὰ τὴν καύσῃ μέσα ἐκεῖ. Πλὴν δὲν ἐκατώρθωσεν ἐκεῖνο ὅπερ ἤθελεν, ἐπειδὴ ἐξελθοῦσα ἀπὸ τὸ ἄλλο μέρος ἡ Μαρκέλλα, (ὅτι ἡ βία τὴν ἠνάγκαζε νὰ μὴ ψηφᾷ τελείως τὰ κέντρα καὶ τὰ ξεσχίσματα τῆς βάτου) ἔτρεξεν μὲ ὅλην της τὴν δύναμην εἰς τὴν παραθαλασσίαν ἐκείνην παιδιάδα, καὶ διαπερά-

σασα τὴν πεδιάδα, ἔτρεχεν ἐπάνω εἰς τοὺς βράχους καὶ τὰς πέτρας τῆς θαλάσσης, ὡς ἔλαφος ταχυδρόμος, καὶ ἐκείνη μὲν ἡ πανεύφημος ἠγωνίζετο οὕτως ὑπὲρ σωφροσύνης, διὰ νὰ φυλάξῃ τὴν παρθενίαν της ἄφθορον· ἐκεῖνος δὲ ὁ ἐναγὴς καὶ ἀκάθαρτος ὑπὲρ ἀκολασίας καὶ ἀσελγίας, διὰ νὰ πληρώσῃ τὸν κακὸν σκοπόν του· μὴ δυνάμενος ὅμως νὰ τὴν φθάσῃ, ἔρριψεν σαΐταν, καὶ τὴν ἐπλήγωσεν· ἀλλὰ καὶ πληγωμένη ἡ Μαρκέλλα, ἔτρεχε πάλιν, καὶ ὅσον ἠδύνατο ἔφευγε· πλὴν ὅταν εἶδε πῶς τὴν ἔφθανε, καὶ πλέον νὰ τρέχῃ δὲν εἶχε δύναμιν, κατέφυγεν εἰς τὴν ἀήττητον δύναμιν τοῦ νυμφίου της Χριστοῦ, καὶ προσευχαμένη, ἐζήτησε νὰ σχισθῇ καὶ νὰ ἀνοίξῃ ἡ πέτρα ὅπου ἦτον πλησίον της, νὰ τὴν δεχθῇ μέσα της καὶ νὰ τὴν κρύψῃ· καὶ παρευθύς, ὢ τῶν θαυμασίων σου Χριστὲ Βασιλεῦ τῆς κτίσεως ! παρευθὺς εἰσήκουσε τῆς δεήσεως αὐτῆς ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούων, καὶ σχισθεῖσα ἡ πέτρα ἐκείνη, τὴν ἐδέχθη καὶ τὴν ἔκρυψε μέσα της, ἕως ἐπάνω εἰς τὰ βυζία ὡς ποτὲ τὴν Πρωτομάρτυρα καὶ Ἰσαπόστολον Θέκλαν.

Φθάσας δὲ καὶ ὁ πατὴρ δαιμονισμένος ὑπὸ τοῦ ἔρωτος καὶ τοῦ θυμοῦ, καὶ μὴ δυνάμενος ἐκεῖθεν νὰ τὴν εὐγάλῃ, μὲ ἀπανθρωπίας καὶ σκληρότητος ὑπερβολήν, πρῶτον ἔκοψε τὰ βυζία τῆς κόρης μὲ μάχαιραν. ὢ γνώμης ἀπανθρώπου καὶ θηριώδους ! ὢ καρδία ! ὢ χεῖρες τυραννικαὶ ! καὶ ὄχι πατρικαί ! πρῶτον λέγω ἔκοψεν τὰ βυζιά της καὶ τὰ ἔρριψεν εἰς τὸ βουνόν, ἔπειτα ἀπέτεμεν τὴν πάντιμον αὐτῆς κεφαλήν, καὶ τὴν ἔρριψεν εἰς τὴν θάλασσαν· καὶ οὕτως ἡ μακαρία Μαρκέλλα ἔλαβε παρὰ Χριστοῦ ὡσὰν ἕνα γέρας καὶ δῶρον τῆς σωφροσύνης της, καὶ τῆς πρὸς αὐτὸν διαπύρου ἀγάπης της, ἐπειδὴ ἐτελειώθη δι' αἵματος, καὶ νὰ ἀξιωθῇ τῶν ἀφθάρτων καὶ ἀκηράτων στεφάνων τῆς ἀθλήσεως διότι ἠδύνατο βεβαίως ἡ θεία παντοδυναμία, ἢ νὰ τὴν φυλάξῃ ζωντανήν, ἢ νὰ παραλάβῃ τὴν ἁγίαν της ψυχὴν ἐν εἰρήνῃ πλὴν δὲν ἔκαμεν οὕτως ἀλλὰ τὴν ἄφησε νὰ λάβῃ βίαιον θάνατον, διὰ νὰ παρουσιασθῇ ἔμπροσθέν του, ἐστολισμένη, ὄχι μόνον μὲ τὸ καθαρὸν ἔνδυμα τῆς παρθενίας, ἀλλὰ καὶ μὲ τὴν πορφύραν τῶν παρθενικῶν της αἱμάτων· καὶ οὕτως ὡς μὲν παρθένος, εἰσῆλθεν εἰς τὸν οὐράνιον νυμφῶνα μετὰ τῶν φρονίμων παρθένων, ὡς δὲ Μάρτυς, μετὰ τῶν ἐνδόξων Μαρτύρων συνδοξάζεται καὶ ὡς φύλαξ τοῦ θείου νόμου ἀκριβής, μετὰ τῶν Μακκαβαίων καὶ



τοῦ τιμίου Προδρόμου μακαρίζεται· διότι αὐταὶ δὲν παρέδωκαν τὴν ζωήν των εἰς θάνατον, διὰ νὰ μὴν ἀρνηθοῦν τὸν ἀληθῆ Θεόν, καθὼς ὕστερον οἱ Μάρτυρες, ἀλλὰ διὰ τὸν νόμον Κυρίου, οἱ μὲν Μακκαβαῖοι, διὰ νὰ μὴ φάγουν ἀπὸ τὰ φαγητὰ ἐκεῖνα ἅπερ ἠμπόδιζεν ὁ Μωσαϊκὸς νόμος, ὁ δὲ Βαπτιστὴς καὶ Πρόδρομος ἐλέγχων τὴν παρανομίαν τοῦ Ἡρώδου· καὶ κατὰ ἀλήθειαν εἰς τὴν Ἁγίαν ταύτην ἐπληρώθη τὸ Εὐαγγελικὸν ἐκεῖνο ὅπερ λέγει· «Ὃς δ' ἂν ἀπωλέσῃ τὴν ψυχὴν αὐτοῦ, ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου οὗτος σώσει αὐτήν»· διότι ἀπώλεσε τὴν πρόσκαιρον τούτην ζωήν, διὰ νὰ φυλάξῃ τὰς ἐντολὰς τοῦ Εὐαγγελίου, καὶ ἰδοὺ ἔλαβε τὴν αἰώνιον, καὶ συζῇ μὲ τὸν Χριστόν, καὶ συνδοξάζεται· καὶ οὐ μόνον ἐν οὐρανῷ δοξάζεται, ἀλλὰ καὶ ἐπὶ γῆς μὲ παράδοξα θαύματα μεγαλύνεται· διότι ἡ διαρραγεῖσα ἐκείνη πέτρα, καὶ τὴν Ἁγίαν δεξαμένη, ἀνέβλυσε καὶ ἀναβλύζει ἀενάως ὕδωρ τερατουργόν, ἰαματικὸν παντὸς πάθους καὶ πάσης ἀσθενείας· «ζῶ γὰρ ἐγὼ λέγει Κύριος, ἀλλ' ἢ τοὺς δοξάζοντάς με ἀντιδοξάσω». Ὅθεν καὶ οἱ ἄνθρωποι τοῦ καιροῦ ἐκείνου, βλέποντες τὰ παράδοξα ταῦτα θαύματα, τοῦ ἐκ τῆς πέτρας ἀναβλύζοντος ἁγιάσματος, ἔκτισαν Ἐκκλησίαν εἰς τὸ ὄνομα τῆς Ἁγίας, εἰς τὸν τόπον τῆς βάτου ὅπου ἐκρύφθη, ὡς προείρηται, καὶ τὴν ἑόρταζον εὐλαβῶς, καὶ κατ' ἔτος ἀνάγκην ἔχοντες προσέτρεχον εἰς τὸν Ναὸν καὶ τὸ ἁγίασμα, καὶ ἐλάμβανον τῶν παθῶν των τὴν ἴασιν. Τὰ δὲ θαύματα, ὅπου ἐνεργεῖ αὐτὸ τὸ ἁγίασμα τῆς Ἀθληφόρου Μαρκέλλης εἶναι δύσκολον νὰ τὰ περιγράψῃ τίς, διὰ τὸ πλῆθος. Ὅθεν καὶ ἀπὸ ὅλα τὰ μέρη τῆς Χίου, καὶ ἀντικρὺ ἀπὸ τὰ Ψαρρὰ προστρέχουν ἐκεῖ, καὶ λαμβάνουν θεραπείαν εἰς τὰ πάθη των· καὶ εἰς τὴν μνήμην της, ἥτις τελεῖται τῇ 22, τοῦ Ἰουλίου Μηνός, πολὺ πλῆθος ἀνθρώπων συντρέχει· διὸ καὶ τὸν Ναὸν της ἀνεκαίνισαν νεωστὶ καὶ ἐμεγάλυναν οἱ ἐντόπιοι, καὶ ἐκ τῶν αὐτῆς θαυμάτων παρέδωσαν ἡμῖν, καὶ ἐγράψαμεν τὰ ἀκόλουθα.

Εἰς τοὺς χιλίους ἑπτακοσίους ὀγδοήκοντα δύο χρόνους ἀπὸ Χριστοῦ, Ἱερεύς τις ἀπὸ αὐτὸ τὸ χωρίον τὴν Βολισσόν. ἔχων παιδίον ἀσθενές, ἠθέλησε νὰ ὑπάγῃ νὰ τὸ πλύνῃ εἰς τὸ ἁγίασμα τῆς Ἁγίας Μαρκέλλης, πλὴν ὄχι μὲ τὴν πρέπουσαν καὶ ἀπαιτουμένην πίστιν, ἀλλὰ μὲ δισταγμὸν καὶ ἀμφιβολίαν, ἐπειδὴ ἦτον δεινὴ ἀσθένεια τοῦ παιδίου, ἠσθάνετο λογισμοὺς ἀπογνώσεως καὶ ἀπελπισίας, πῶς οὔτε ἡ χάρις τῆς Μάρτυρος δὲν

δὲν τὸ ὑγιαίνει· καὶ τοιοῦτοι μὲν ἦσαν οἱ λογισμοὶ τοῦ Ἱερέως καὶ πατρὸς τοῦ παιδίου· τί δὲ ἡ Ἁγία; θέλουσα νὰ δείξῃ τὴν παρρησίαν ὅπου ἔχει πρὸς τὸν Θεόν, καὶ τὴν θαυματουργικὴν χάριν, ὅπου ἐπλούτησεν, εὐθὺς ὁποῦ ἔπεσεν εἰς ὕπνον τὴν ἡμέραν ἐκείνην ὁ Ἱερεύς, τοῦ ἐφάνη εἰς τὸν ὕπνον του, πῶς εὑρέθη εἰς τὸν τόπον τοῦ Μαρτυρίου τῆς Ἁγίας ὅπου καὶ τὸ ἁγίασμα πηγάζει, καὶ ἐκεῖ τοῦ φαίνεται ἄνωθεν ἡ Ἁγία, ἐλέγχουσα τὴν ἀπιστίαν του καὶ λέγουσα· «τὸ παιδίον σου βεβαίως θέλει ὑγιάνει, καὶ μὴ ἀμφιβάλλῃς εἰς τὴν θαυματουργικὴν χάριν, ἣν ἔλαβον παρὰ Θεοῦ». Ὁ δὲ ταῦτα ἰδών, καὶ ἀκούσας, τόσον ἐτρόμαξεν, ὥστε ὁποῦ ἐξύπνησεν ἔντρομος, καὶ ἔμεινε ἄφωνος παντελῶς καὶ δὲν ἐδύνατο νὰ λαλήσῃ ὥραν ἱκανὴν ἀφ' οὗ δὲ μόνος καθ' ἑαυτὸν ἐμετανόησεν, καὶ τὴν ἀπιστίαν τῶν λογισμῶν ἐδιώρθωσε, τότε ὡμίλητε, καὶ εἰς ἐπήκοον τῶν ἐκεῖ εὑρεθέντων ὑπεσχέθη νὰ τὴν ἑορτάζῃ εἰς τὸ ἑξῆς· καὶ εἰς τὴν αὐτὴν ὥραν ὁποῦ ὡ ίλησεν ἐκεῖνος, ὑγίανε καὶ τὸ παιδίον του παραδόξως καὶ ἐπληροφορήθη πραγματικῶς ἐκ τῶν δύο τούτων, ὁποῦ ἔπαθε καὶ εἶδε, τὴν χάριν τῆς Ἁγίας, δοξάζων τὸν Θεόν, καὶ τὴν ἔνδοξον αὐτοῦ νύμφην καὶ Μάρτυρα Μαρκέλλαν.

Ἐν τῷ αὐτῷ ἔτει, ἄλλος τις Ἱερεύς, ὀνόματι Μιχαήλ, ἀπὸ τὸ αὐτὸ χωρίον, εἶχε παιδίον ἀσθενές, ἱκανὸν καιρόν, Νικόλαον καλούμενον, καὶ ἐπειδὴ παρήρχετο ὁ καιρός, δὲν ἔβλεπε τὴν ὑγείαν του, ἐπεκαλέσθη τὴν Ἁγίαν εἰς βοήθειαν καὶ τὴν δευτέραν νύκτα, ὢ τῆς ταχείας ἀντιλήψεως τῆς Μάρτυρος! τοῦ ἐφάνη εἰς τὸν ὕπνον του, πῶς τὴν εἶδε, (καθὼς τὴν ἤξευρε ἀπὸ τὴν εἰκόνα της) καὶ ἐπήγαινε εἰς τὴν οἰκίαν, ὅπου ἦτο τὸ ἀσθενὲς παιδίον, καὶ παρευθὺς ἀποτεινάξας τὸν ὕπνον, εὗρε τὸ παιδίον ὑγιές, καὶ κατὰ πάντα καλῶς ἔχον, καὶ ἐδόξασε τὸν Θεόν, τοῦ ἐν τοῖς Ἁγίοις αὐτοῦ δοξαζόμενον, καὶ τὴν αὐτοῦ Μάρτυρα Μαρκέλλαν.

Εἰς τοὺς χιλίους ἑπτακοσίους ὀγδοήντα πέντε, ἐν καιρῷ χειμῶνος ἐκίνησαν τινὲς ἀπὸ τὴν χώραν διὰ νὰ ἔλθουν εἰς τὸ χωρίον των τὴν Βολισσόν, ἀλλὰ τόση μεγάλη καὶ χιονώδης βροχὴ τοὺς ἔφθασεν εἰς τὸν δρόμον, εἰς τὸν τόπον ἔρημον καὶ ἀκατοίκητον, ὥστε ὁποῦ ἀπέκαμε πλέον καὶ ὀλιγοθύμησε μία γυναῖκα ἀπὸ τὴν συνοδίαν των, καὶ παρεμπρὸς δὲν ἠδύνατο νὰ ὑπάγῃ, ἀλλὰ ἔπεσεν ὡσεὶ νεκρά. Οἱ ἄλλοι μὴ δυνάμενοι νὰ τῆς κάμουν καμμίαν βοήθειαν, τὴν ἐσύκωσαν καὶ τὴν ἔβαλον εἰς



τὸ κελλίον μιᾶς Ἐκκλησίας τοῦ Ἁγίου Γεωργίου, ὁποῦ εἶναι εἰς τὰ βουνὰ ἐκεῖνα εἰς τὸν τόπον τὸν λεγόμενον Φλῶρι, καὶ τὴν ἀφησαν ἐκεῖ πνέουσαν τὰ λοίσθια καὶ αὐτοὶ ἐπῆγαν εἰς τὸν δρόμον των, καὶ μὲ μεγάλον κίνδυνον τῆς ζωῆς των, ἐδυνήθησαν νὰ φθάσουν εἰς τὴν Βολισσόν Φθάσαντες δὲ ἐκεῖ, ἀνήγγειλαν τὸ γεγονὸς εἰς τὸν ἄνδρα τῆς γυναικός, καὶ αὐτὸς ἀκούσας τοῦτο ἐδόθη εἰς τὴν θερμὴν δέησιν πρὸς τὴν Ἁγίαν Μαρκέλλαν παρακαλῶν αὐτήν, ὅτι κοντὰ εἰς τὰ ἄλλα της θαύματα, νὰ κάμῃ καὶ τοῦτο, νὰ τὴν λυτρώσῃ ἀπὸ τὸν θάνατον. Κατὶ ταῦτα ἐπαρακάλει καὶ ἐζήτει ἐκεῖνος ἀπὸ τὴν Ἁγίαν, ἡ δὲ θαυματουργὸς καὶ συμπαθὴς Μαρκέλλα, ἐπήκουσε τῆς θερμῆς αὐτοῦ δεήσεως, ὅθεν φαίνεται εἰς τὴν γυναῖκα, καὶ πιάνων αὐτὴν ἀπὸ τὴν χεῖρα, τῆς ἐφάνη πῶς τὴν ἔβαλεν εἰς τὴν γωνίαν τοῦ κελλίου, ὅπου ἦτον φάτνη, ἔπειτα ἐφάνη πῶς τὴν ἔδωκεν ἕνα δοχεῖον μὲ νερὸν καὶ ἔπιε· ἐπειδὴ δὲ ἡ χιὼν ἐπεκράτει, δὲν ἠμπόρεσαν νὰ ὑπάγουν κἂν νὰ τὴν θάψουν, καθὼς ἐνόμιζον, ὅτι ἦτον ἀποθαμμένη, μετὰ δὲ ἐννέα ἡμέρας πηγαίνοντες, διὰ νὰ τὴν ἐνταφιάσουν, τὴν ηὗραν ὑγιᾶ καὶ καλῶς ἔχουσαν καὶ δυναμωμένην ἀπὸ τὸ νερόν, ὁποῦ ἐν ἐκστάσει τὴν ἐπότισεν ἡ Ἁγία, καὶ ἐδιηγεῖτο ὅσα εἶδε καὶ ἤκουσεν ἀπὸ τὴν Ἁγίαν, εἰς δόξαν Θεοῦ, καὶ εὐχαριστίαν τῆς Μάρτυρος.

Κάποιος ἄλλος εἶχε παιδίον τυφλόν, καὶ πηγαίνων αὐτὸ εἰς τὸ Μαρτύριον τῆς Ἁγίας, τὸ ἔπλυνε μὲ τὸ ἁγίασμα, καὶ ἐπικαλεσάμενος τὴν χάριν αὐτῆς, ἔτυχε τοῦ ποθουμένου· ἀνέβλεψε δηλαδὴ τὸ παιδίον του, καὶ εἰς τὸ ἑξῆς βλέπει καθαρὰ ὡς καὶ πρότερον

Ἄλλος τις εἶχε τὰ ποδάρια του κρατημένα, καὶ δὲν ἠδύνατο νὰ περιπατήσῃ καὶ πηγαίνων εἰς τὸν Ναὸν τῆς Ἁγίας μὲ πίστιν, ἐζήτησε καὶ ἐτέλεσαν τὴν θείαν Λειτουργίαν εἰς τὴν ὑγείαν του, καὶ (ὢ τοῦ θαύματος!) πίπτων εἰς τά Ἅγια ἐν καιρῷ τῆς μεγάλης εἰσόδου, ἐσηκώθη παρευθὺς ὅλος ὑγιὴς δοξάζων τὸν Θεόν, καὶ τὴν αὐτοῦ Παρθενομάρτυρα Μαρκέλλαν.

Γυνή τις ἀπὸ τὴν ἀντικρὺ νῆσον, τὴν ἐπιλεγομένην Ψαρρά, εἶχε πάθος δεινὸν μέσα εἰς τὸ στόμα, καὶ δὲν ἠδύνατο ἡ ἀθλία, οὔτε νὰ φάγῃ, οὔτε νὰ πίῃ, ἀλλὰ καὶ εἰς τὴν ὁμιλίαν μεγάλην δυσκολίαν τῆς ἔφερνε τὸ πόνεμα, ὅθεν ἐδόθη πρὸς θεραπείαν τοῦ πάθους· πλὴν ὁ καιρὸς ἀπερνᾷ, καὶ ἰατρείας σημεῖον δὲν φαίνεται παντελῶς εἰς τὸ πάθος, ἀλλ' ἀπὸ ἡμέραν εἰς ἡμέ-

ραν χειρότερον γίνεται, καί κίνδυνον μέγαν φοβερίζει τῆς ἀθλίας γυναικός. Λυπεῖται αὐτὴ διὰ τοῦτο, κλαίει, ἀναστενάζει, κατατρώγεται καὶ καταφθείρεται ἀπὸ τοὺς πόνους, ἀλλὰ τί νὰ κάμῃ δὲν ἠξεύρει. Εἰς τοὺς α ψ π΄. 1770. ἡτοιμάσθησαν γυναῖκες τινὲς ἀπὸ τὴν αὐτὴν Νῆσον, νὰ ἔλθουν εἰς προσκύνησιν τῆς Ἁγίας Μαρκέλλης, μία δέ ἀπό τὴν συνοδείαν ἐκείνην, ὑπάγει καὶ λέγει πρὸς αὐτὴν, ὅπου εἶχε τό ἀνίατον πάθος, ἐγὼ καὶ ἡ δεῖνα, καὶ ἄλλαις ἀπεφασίσαμεν νὰ ὑπάγωμεν εἰς τὴν Χίον, εἰς προσκύνησιν τῆς Ἁγίας Μαρκέλλης, δὲν ἔρχεσαι καὶ σὺ, μήπως καὶ σὲ ἐλεήσῃ καὶ θεραπεύσῃ τὸ πάθος σου ; Ἐδέχθη τὸν λόγον ἡ πάσχουσα, καὶ ἐλθοῦσα μετ' εὐλαβείας μεγάλης, καὶ πίστεως ἀδιστάκτου εἰς τὸν Ναὸν τῆ Ἁγίας, ὁμοῦ μὲ τας ἄλλας γυναῖκας ἐλειτουργήθησαν ἐκεῖ, καί μετά τὴν Λειτουργείαν ἐπῆγαν μετά τοῦ Ἐφημερίου εἰς τὸ ἰαματικὸν ὕδωρ, καὶ ἔψαλον ἁγιασμὸν, καὶ μετὰ τὴν ἀπόλυσιν ἐνίφθησαν καὶ ἔπιον ἐξ' αὐτοῦ, καὶ παρευθύς, (ὢ τοῦ θαύματος ! ὢ τῆς μαρτυρικῆς χάριτος καὶ καλλιμάρτυς τοῦ Χριστοῦ Μαρκέλλα !) παρευθὺς λέγω ἰατρεύθη τὸ πάθος τῆς ἀσθενοῦς γυναικὸς, καὶ ἐλάλησεν ἀνεμπόδιστα, καὶ μετὰ ταῦτα ἔφαγεν καὶ ἔπιεν ἐλεύθερα χωρὶς πόνους, καὶ ἔμεινεν εἰς τὸ ἑξῆς εἰς αὐτὴν τὴν κατάστασιν τῆς ὑγείας της· καὶ οὕτω τεθεραπευμένη καὶ ἐλευθερωμένη παντελῶς ἀπὸ τὸ πάθος της, ἐδόξαζε τὸν Θεὸν, καὶ τῆς Παρθενομάρτυρος Μαρκέλλης τὴν ἰαματικὴν χάριν ἐκήρυττε.

Κάποιος ἄνθρωπος ἀπὸ τὴν Βολισσὸν, εἶχε πρισμένους τοὺς πόδας, τρεῖς ὁλοκλήρους χρόνους, καὶ εἰς ὅλον αὐτὸ τό διάστημα τοῦ καιροῦ δὲν ἔπαυσεν ἀπὸ τὸ νὰ μεταχειρίζεται διάφορα ἰατρικὰ, καὶ πολλὰ ἐξωδεύθη, πλὴν ὄχι μόνον κάμμίαν θεραπείαν δὲν ἔλαβεν, ἀλλὰ καὶ εἰς τὸ χειρότερον ἐπήγαινε. Λοιπὸν εἰς τοὺς α π ψ ε΄. 1785, ὢν ἀποφασισμένος εἰς θάνατον καὶ ἀπὸ κάθε ἀνθρωπίνην βοήθειαν, ἔρριψε μετὰ πίστεως τὴν ἐλπίδα του ὅλην εἰς τὴν Ἁγίαν Μαρκέλλαν, καὶ ἐπειδὴ δὲν ἠδύνατο ἀλλέως νὰ ὑπάγῃ εἰς τὸν Ναὸν καὶ τὸ ἁγίασμά της, τὸν ἐσήκωσαν οἱ ἄνθρωποι, καὶ βαστακτὸν τὸν ἐπῆγαν ἐκεῖ, καὶ τελεσθείσης τῆς θείας μυσταγωγίας, τὸν ἐπῆγαν πάλιν βαστακτὸν εἰς τὸ ἁγίασμα, καὶ νυψάμενος μὲ αὐτὸ, ἔλαβεν τὴν ὑγείαν του.

Μία γυναῖκα εἶχε τὰ ποδάρια της ἀπὸ τὴν μέσην καὶ κάτω παραλελυμένα, καὶ ξηρὰ· ἐπάσχισε πολλὰ νὰ τὰ θεραπεύσῃ μὲ ἰατρικὰ, ἀλλὰ δὲν ἐπέτυχε τοῦ ποθουμένου· ἀφοῦ δὲ ἀπελπίσθη τελείως ἀπό ἀνθρωπίνην βοήθειαν, τότε ἐνθυμήθη καὶ τὴν Ἁγίαν Μαρκέλλαν. Λοιπὸν ἐζήτησε νὰ τῆς φέρουν ἀπὸ τὸ ἁγίασμά της, καὶ τὴν νύκτα ἐκείνην, φαίνεται εἰς τὸν ὕπνον της ἡ Ἁγία, καὶ τῆς λέγει, μὴ λυπῆσαι, ἐγὼ νὰ σοὶ στείλω τὴν θεραπείαν σου. Τὴν ἀκόλουθον ἡμέραν τῆς ἔφεραν τὸ ἁγίασμα, καὶ νίψασα μὲ αὐτὸ τοὺς πόδας της, (ὢ τοῦ θαύματος !) ἐθεραπεύθησαν, μὲ τὴν χάριν τῆς Ἁγίας· ἧς ταῖς ἁγίαις πρεσβείαις, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὁ Θεὸς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.



Ωδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Πόθῳ ἅπαντες, γεραίρομεν τὴν μνήμην σου, Μαρκέλλα πάνσεμνε, ὅτι ἀντέστης πατρὶ τῷ μίξιν ἀθέμιτον ἀφρόνως θέλοντι, ὅθεν ψάλλομεν, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ρωμαλαίαν, τὴν διάνοιαν ἐκέκτητο παρὰ τοῦ πλάσαντος, τὸε οὐρανὸν καὶ τὴν γῆν, Μαρκέλλα ἡ πάντιμος, ὅθεν νενίκηκε, τὸν ἀντίπαλον, καὶ συγχορεύει χαίρουσα, τοῖς Ἀγγέλοις εἰς αἰῶνας.

Σῶμα ἔλιπες, Μαρκέλλα παμμακάριστε, καὶ ἀνελήλυθας, εἰς οὐρανίους σκηνὰς, ἐν αἷς πάντες δίκαιοι χαίρουσι ψάλλοντες, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἡ Βασίλισσα, τοῦ Κόσμου ἡ κυήσασα, τὸν Βασιλέα Χριστὸν, ῥῦσαι φθορᾶς καὶ σεισμοῦ, ἐθνῶν ἐπηκείας τε, τοὺς πίστει ψάλλοντας, ὑπερύμεητε, εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Καταβασία. Ἀραμιαῖοι ποτὲ ἐν Βαβυλῶνι παῖδες.

Ὠδὴ ή. Παῖδες εὐαγεῖς

Τέτρωσαι Μαρκέλλα Ἀθληφόρε, τῷ πόθῳ τῷ τοῦ Δεσπότου σου καὶ ἔρωτα, ὅθεν τῷ γεννήτορι, ἔλεγες πανεύφημε, τὴν τοῦ Κυρίου ἐντολὴν, οὐ παραβαίνω ποτὲ, ὑπάρχω γὰρ, οἰκέτις ἐκείνου, ὅνπερ ἀνυμνοῦσι, χοροὶ πάντες Ἀγγέλων.

Ὕμνους καὶ δεήσεις τῇ Μαρκέλλῃ, προσάξομεν μετὰ πόθου ταύτῃ κράζοντες· σῶσον ἡμᾶς ἅπαντας Μάρτυς πολυύμνητε, δοξάζοντας τὴν μνήμην σου, τὴν ἀεισέβαστον, ὑπάρχομεν γὰρ

πάντες σοὶ δοῦλοι, οἱ περιεστῶτες ἐν τῷ σεπτῷ Ναῷ σου.

Φωτεινὸν ἀνάκτορον Χριστοῦ σὺ, ἐγένου τῶν Ἀθλοφόρων ἐγκαλώπισμα, λίθοις τῆς ἀθλήσεως, ἐνῷπερ κατῴκησεν, ὁ τῶν ἁπάντων Κύριος, ὅνπερ ἠγάπησας, ἐ βρέφους ὡς νυμφίον Μαρκέλλα, ᾧ νῦν ἑνωθεῖσα, συγχαίρεις εἰς αἰῶνας.

Θεοτοκίον.

Πολλαῖς προσβολαῖς ἁμαρτημάτων κλονούμενοι σοῦ πρὸ τὴν ἀκλόνητον σκέπην καταφεύγομεν, στήριξον τοὺς δούλους σου, κατὰ παθῶν ἐνίσχυσον, καὶ ἐκ σεισμοῦ καὶ λοιμοῦ, ἐθνῶν ἐπιδρομῆς τε Παρθένε, τοὺς σὲ ἀνυμνοῦντας ὡς ὄντως Θεοτόκον.

Καταβασία. Οἱ ἐν Βαβυλῶνι παῖδες.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Χλόην τῆς ζωῆς, ζητοῦσα πανύμνητε τὴν ἐπουράνιον, βίον τὸν ἐπίκηρον, οὐδὲν ἡγήσω, οὐδὲν ἐνήθλησας, τῇ κραταιᾷ τοῦ κτίστου σου, δυνάμει πάνσεμνε, ὃν νῦν βλέπεις, πρόσωπον πρὸς πρόσωπον, ὦ Μαρκέλλα Χριστοῦ δούλη πάνσεμνε.

Ψάλλων ὁ Δαβὶδ Προφήτης ἐν πνεύματι ὦ παμμακάριστε, θυγατέρα λέγει σε, τὸ κατ' εἰκόνα Θεοῦ τηρήσασαν, Μαρκέλλα καὶ ὁμοίωσιν, ὃν νῦν δυσώπησον, τοῦ ρυσθῆναι, ἡμᾶς τῆς κολάσεως, ταῖς ἐνθέοις λιταῖς σου πανεύφημε,

Ὡραία Χριστοῦ, νύμφη ἀνεδείχθη, τῷ τῆς ἀθλήσεως, αἵματι τιμίῳ σου, ᾧ ἐρραντίσθης Μαρκέλλα πάνσεμνε, διόπερ εἰς σκηνώματα τοῦ σοῦ νυμφίου Χριστοῦ, ἀνηνέχθης ἐντρυφῶσα τέρψεως τῆς ἐκείνου ὡς Μάρτυς καλλίνικος

Θεοτοκίον.

Φώτισον ἁγνὴ, ψυχῆς μου τὰ ὄμματα, παῦσον τὸν κλύδωνα τὸν ἐπιγινόμενον, ἐκ τῆς δαιμόνων παρενοχλήσεως, καὶ εἰς ὁδὸν κατεύθυνον, τῶν θελημάτων Χριστοῦ, τοῦ νοός μου, πάναγνε τὴν ζόφωσιν, ὅπως πίστει ἀεὶ μακαρίζω σε.

Καταβασία. Ὁ τόκος σου ἄφθορος ἐδείχθη.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Στίχοι. Γυναίκες ἀκουτήσθητε. Ἐξαποστειλάριον Ἁγ. Μαγδαλινῆς

Μαρία κυριώνυμε, καὶ τοῦ Χριστοῦ μαθήτρια, σὺν ταῖς λοιπαῖς Μυροφόροις, καὶ τῇ Παρθένῳ Μαρίᾳ, καὶ μόνῃ Θεο-



μήτορι, ἀπαύστως ἱκέτευε, τὸν σταυρωθέντα Κύριον, ὑπὲρ ἡμῶν Μυροφόρε, τῶν σὲ τιμώντων ἐκ πόθου.

Ἡ νῆσος Χίος τέρπεται, παλαίσμασι τῆς Μάρτυρος, καὶ πανευφήμου Μαρκέλλης, ἥνπερ Χριστὸς καταστέφει, σὺν τοῖς προδιαλάμψασι, τρισὶν Ἁγίοις πρότερον, Ἰσιδώρῳ τῷ Μάρτυρι, Μυρόπῃ τῇ ἀθληφόρῳ, καὶ τῇ Ὁσίᾳ Ματρώνῃ.

Ρωσθεῖσα τῇ τοῦ Πνεύματος, ἰσχύϊ τάχος ἔφυγες, πατρὸς τοῦ σοῦ τὴν μανίτν, Μαρκέλλα δούλη Κυρίου, ἐν θαλασσίοις ὕδαιν, ἐν οἷς τὴν κάραν τέτμησαι· δι' ὅπερ ἀνέδραμες, εἰς οὐρανίους θαλάμους ὑπὲρ ἡμῶν δυσωποῦσα.

Θεοτοκίον· Μαρία καθαρώτατον

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στιχ. δ΄. καὶ ψάλλομεν Στιχηρά. Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν.

Ξίφει τὸν αὐχένα σεμνὴ, ἔτεμε τοκεὺς καὶ γενήτωρ, ὁ σὸς καὶ ἔδραμες, Μάρτυς εἰς Μητρόπολιν τῶν πρωτοτόκων χαρᾷ, καὶ τὰ κάλλη ἐμβλέπεις νῦν, Τριάδος τῆς θείας, ἥνπερ δυσωποῦμεν σε, ἐκλιπαρεῖν ἐκτενῶς, ἵνα σοὺς ἱκέτας λυτρώσῃ τῆς φρικτῆς ἐκείνης Μαρκέλλα καὶ αἰωνιζούσης κρίσεως. Δίς.

Ἔτι τῆς θαλάσσης οἱ ἀφροὶ ἐρυθροὶ, ὢ θαῦμα! ὁρῶνται Μαρκέλλα πάνσεμνε, ἔνθα σου τὸ πάντιμον, αἷμα ἐκκέχυται, οἷς πιστῶς οἱ χριόμενοι, παθῶν ἐκλυτροῦνται, διὰ τῆς σῆς χάριτος, ἐνευφημοῦντές σε, ὡς Χριστοῦ ἀκήρατον Νύμφην, τοῦ σὲ ἐνεργείαις θαυμάτων, ἔνδοξον τοῖς πᾶσιν ἀναδείξαντος.

Θῦμα τῷ Δεσπότῃ σου Χριστῷ ἤχθης ὦ Μαρκέλλα εὐῶδες καὶ παναμώμητον, πάσας ὅθεν εὔφρανας, τὰς οὐρανίους ἀρχὰς καὶ μακάρων ἀοίδιμε ψυχὰς διὸ πάντες· πρέσβυν πρὸ τὸν Κύριον, πιστοὶ προβάλλομεν, σῶσον ἐκβοῶντες κινδύνων, καὶ παντοδαπῶν ἐναντίων, Μάρτυς τοῦ Χριστοῦ τοὺς ἀνυμνοῦντάς σε.

Δόξα Ἦχος β΄.

Τὴν τετράχορδον λύραν, τῆς φιλοχρίστου Χίου, τῶν φιλεόρτων τὸ σύστημα εὐφημήσωμεν. Ἰσίδωρον τὸν ἀθλητὴν, σὺν τῇ Συνάθλῳ Μυρόπῃ, καὶ Ματρώνῃ τῇ ἱερωτάτῃ Ὁσίᾳ, μετὰ Μαρκέλλης τῆς Παρθενομάρτυρος, ἧς τὴν θείαν μνήμην ἐπιτελοῦμεν

ΚΟΡΑΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΡΗΣ ΠΑΡ...

σήμερον· θείῳ γὰρ πόθῳ πυρποληθεῖσα, τῷ ἀντάρτῃ ἀντέστη, ὥσπερ ἀσώματος ἡ ἀοίδιμος, καὶ τὰς ἐκείνου μηχανάς, ὡς ἱστὸν ἀράχνες, πανσόφως διέλυσε· διὰ γὰρ Χριστὸν τὸν νυμφίον, αὐτῆς τῆς οἰκείας ζωῆς μὴ φυσαμένη, ἀνδριοφρόνως σφαγὴν παρὰ πατρὸς ἀκολάστου ἐδέξατο· ὅθεν τῇ ἑαυτῆς πατρίδι προστάτις γενέσθαι, σὺν τοῖς λοιποῖς Ἁγίοις, τοῖς ἐν αὐτῇ διαπρέψασι κατηξίωται, μεθ' ὧν πρεσβεύει πρὸς Κύριον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ᾠδή γ". καὶ ς'.

Ὁ Ἀπόστολος πρὸς Γαλάτας, Ἀδεφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. Εὐαγγέλιον ἐκ τοῦ Μάρκον, Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς. Μεγαλυνάρια.

Χαίροις Νύμφη ἄυπιλε τοῦ Χριστοῦ, ἔυδοξε Μαρκέλλα, καὶ λιμάρτυς νεοφανής· βλάστημα τῆς Χίου καὶ δόξα καὶ προστάτις, πάντων παθῶν ἀπάλλαξον τοὺς τιμῶντας σε.

Πορφύραν ἐξ αἵματος τὴν στολὴν, ὡς περικειμένη, καὶ τὸ στέρος ἐν κορυφῇ ἔχουσα τὸ θεῖον, καὶ τῆς παρθενίας, λευκοφαῆ λαμπάδα, κρατοῦσα γέγηθας.

Ὁ Ἀπόστολος Προκείμενον ἦχος πλ δ'

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ

Στιχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν

Πρὸς Κορινθίου Α' ἐπιστολῆς Παύλου, τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ. Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστί. μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχωμεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ ἀδελφοὶ τοῦ Κυρίου, καὶ ὁ Κηφᾶς; ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; Μὴ κατὰ ἄνθρωπον



ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τῷ Μωϋσέως νόμῳ γέγραπται οὐ φυμώσεις βοῦν ἀλοῶντα. Μὴ τὸν βοῶν μέλλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη ὅτι ἐπ' ἐλπίδι ὀφείλη ὁ ἀροτριῶν ἀρωτριᾷν, καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ ἐλπίδι. Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσωμεν; εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ ἀλλὰ πάντα στέγομεν ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ. Ἀλληλούϊα ἦχος β'.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκάν. (η'. 13)

Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ οἱ δώδεκα σὺν αὐτῷ καὶ γυναῖκες τινές, αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ καλουμένη Μαγδαληνή, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει, καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρώδου καὶ Σουσάνα καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐτῶν.

---

# ΛΟΓΟΣ ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ

Λέγει ὁ Κύριος.

Παντὶ τῷ αἰτοῦντι σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. Ὁ Προφήτης Δαυΐδ. Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Ὁ Ἀπόστολος Παῦλος πρὸς τοὺς Φιλιππησίους. Ὀσμὴν εὐωδίας θυσίαν δεκτὴν εὐάρεστον τῷ Θεῷ. Ὁ Ζακχαῖος ἐξήλειψε τὰς ἁμαρτίας του, λέγων εἰς αὐτὸν ὁ Κύριος: σήμερον ἐν τῷ οἴκῳ σου δεῖ μεμεῖναι. Ἀνελείφθη ὁ Κύριος εἰς τὸν Οὐρανόν, καὶ ἡμεῖς ὁμοίως διὰ τῆς ἐλεημοσύνης ἀναβαίνωμεν. Ὁ Θεολόγος Γρηγόριος. Ἀδύνατον εἶναι, χίλια καλὰ νὰ κατορθώσωσωμεν, χωρὶς τῆς ἐλεημοσύνης, δὲν δυνάμεθα νὰ ἔμβωμεν εἰς τὴν θύραν τοῦ Παραδείσου. Ὁ Προφήτης Ἠλίας ἀνέστησεν τὸν υἱὸν τῆς χήρας ἐπειδὴ ἔκαμεν ἐλεημοσύνην εἰς αὐτὸν ἡ μήτηρ του.

Λέγει ὁ Κύριος. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Ὁ θεῖος Δαυΐδ. Οὐκ εἶδον δίκαιον ἐγκαταλελειμένον ζητῶν ἄρτον. Ὁ Ἅγιος Γρηγόριος ὁ Διάλογος, ἐπροσκάλεσε εἰς τὴν τράπεζάν του 12 ἀνθρώπους διὰ νὰ συμφάγουν, καὶ μετρᾶ καὶ ἦσαν 13, τὸν βλέπει διαφορετικόν, διότι ἦτο ὁ Ἄγγελος Κυρίου καὶ εἶχε ζητήσει 3 φορὰς ἐλεημοσύνην. Λέγων ὁ Κύριος εἰς τὸν Μαρτῖνον ἐκ Φραγγίας, μὴ λυπεῖσαι καὶ εἶσαι περίλυπος, ἔχε θάρρος διότι χθὲς μὲ εἶδες γυμνὸν καὶ μὲ ἐνέδυσες, πεινασμένον καὶ



μὲ ἔθρεψες, διψασμένον καὶ μὲ ἐπότισες καὶ ἐγὼ θὰ σὲ φυλάξω ἀβλαβῆ ἀπὸ τοὺς ἐχθροὺς καὶ θὰ σὲ κάμω μετὰ θάνατον κληρονόμον τῆς Βασιλείας μου. Ὁ δίκαιος Ἰὼβ λέγε· ὁ Κύριος ἔδωκεν· ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Ὁ ἅγιος Ἰωάννης ὁ Ἐλεήμων· Μέλιτος γεῦσις ἡδυτάτη. μετενήνεκται εἰς δόκιμον χρυσόν σου· τῇ πλουσίᾳ σου· γὰρ προσέχων προαιρέσει ὡς Ποιητὴς πλουσίως σοι χορηγεῖ τὰς ἀντιδόσεις. Ὁ αὐτὸς λέγει. Ὁ ἔχων πίστιν, οὐ δεῖται χρημάτων, ὁ δὲ χρημάτων ὅλως ἐρᾷ, πίστεως πάντως ἐστὶν ἔρημος. Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ· ἔχε θάρρος ἐμένα δανείζεις. Ὁ Ἀπόστολος Παῦλος Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Ἡ ἐλεημοσύνη ἀναβιβάζει εἰς τόσον ὕψος τὸν ἐλεήσαντα εἰς τὸν Θεόν, καθὼς μία ἐπίγειος Βασίλισσα εἰσέρχεται εἰς τὰ Ἀνάκτορα καὶ οὐδεὶς τῶν στρατιωτῶν τολμᾷ διὰ νὰ τὴν ἐξετάσῃ. Πρώτη θυγατέρα τοῦ Θεοῦ εἶναι ἡ ἐλεημοσύνη· καθὼς λέγει ἡ Γραφή. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, διότι αὐτὴ ἐκατέπεισεν τὸν Θεὸν καὶ ἔγεινεν ἄνθρωπος, διὰ νὰ σώσῃ τὸν ἄνθρωπον. Εἰς τὴν Ἰόππην, ἦτον μία κόρη Ταβιθὰ ὀνόματι, ἡ ὁποῖα εἶχε ἔργον τὴν ἐλεημοσύνην, νὰ δίδῃ ἀκαταπαύστως, ἐνέδυε χήρας ὀρφανά, ἔτρεφε τοὺς πτωχούς· ἀσθένησε βαρέως καὶ ἀπέθανε· τί ἔκαμαν οἱ πτωχοί, δὲν τὴν ἄφιναν νὰ τὴν θάψουν, ἀλλὰ ἔστειλαν καὶ ἔφεραν τὸν Ἀπόστολον Πέτρου, καὶ ὡς εἶδε τὰ δάκρυα καὶ τοὺς ἀναστεναγμοὺς τῶν πτωχῶν, ἀνέστησε διὰ προσευχῆς τὴν Ταβιθά, καὶ ἐνὶ λόγῳ οἱ πτωχοὶ διὰ προσευχῆς τοῦ Ἀποστόλου Πέτρου τὴν ἀνέστησαν. Ἡ ἐλεημοσύνη λύει τὰ δεσμά, καὶ διώκει τὸ σκότος. Ἡ ἐλεημοσύνη κάμει μεγάλας εὐεργεσίας, εἰς τοὺς εὐεργετοῦντας αὐ-

τὴν μετ' εὐχαριστίας. Ὁ Προφήτης Ἀβραάμ, εἶδε τὴν Τρισυπόστατον Θεότητα ὡς σχῆμα ἀνθρώπου. Λέγει ὁ Μέγας Βασίλειος, Οὐκ ἠλέησας, οὐκ ἐλεηθήσῃ· οὐκ ἤνοιξας τὴν οἰκίαν ἀποπεμφθήσει τῆς Βασιλείας, οὐκ ἔδωκας τὸν ἄρτον, οὐ λήψει τὴν αἰώνιον ζωήν. Ὁ δίκαιος Τωβίτ. Ἡ ἐλεημοσύνη ῥύεται τὸν ἄνθρωπον ἐκ θανάτου καὶ ἀποκαθαριοῖ πᾶσαν ἁμαρτίαν. Ὁ Σαράχ πῦρ φλογιζόμενον, κατασβέσει ὕδωρ, καὶ ἐλεημοσύνη ἐξιλάσκεται ἁμαρτίας. Ὁ Θεολόγος Γρηγόριος. Χωρὶς ἐλεημοσύνην εἶναι ἄκαρπος ἡ ψυχή σας, πάντα ἀνόητα πάντα ἀνωφελῆ. Γρηγόριος ὁ Νύσσης, ἐβδελύξω πτωχὸν, βδελύξομαί σε κἀγώ, ὁ δι' ἐμὲ πτωχεύσας ἄριστος: Ἰάκωβος ὁ Ἀδελφόθεος· ἡ γὰρ κρίσις ἀνήλεος, τῷ μὴ ποιήσαντι ἔλεος, καὶ κατακαυχᾶται ἔλεος κρίσεως. Ὁ σοφὸς Νεῖλος· οὕτως ἴδιον Θεοῦ τῷ ἐλεεῖν καὶ οἰκτείρειν. Γρηγόριος ὁ Θεολόγος. Οὐδενὶ τῶν πάντων θεραπεύομαι οὕτως ὡς ἐλεῶ ὅτι, οὐδὲν οἰκειότερον ἐμοί, ἔλεος γὰρ καὶ ἀλήθεια προπορεύεται ἐξ ἐμοῦ. Ὁ ἴδιος. Χριστὸν σκέπεις, τρέφεις τε, τὸν πτωχὸν τρέφων. Χρυσόστομος. Ὢ πηλίκον ἀξίωμα τῆς πενίας, Θεοῦ γίνεται προσωπεῖον, κρύπτεται ἐν πένητι θεὸς, καὶ πένης μὲν ὁ τὴν χεῖρα προτείνων, θεὸς δὲ ὁ δεχόμενος. Ὁ ἴδιος εὐεργετῶν νόμιζε μιμεῖσθε θεόν. Ὁ Σοφὸς Σόλων, θεῷ ὅμοιον ἔχει ὁ ἄνθρωπος, τὸ εὐποιεῖν. Ὁ Δημοσθένης Θεὸν ὅμοιον ἔχει τὸ ἐλεεῖν καὶ εὐεργετεῖν. Ὁ θεολόγος Γρηγόριος. Τοῦτο ἐστὶν ᾧ δυνάμεθα ἐξισοῦσθαι θεῷ τὸ ἐλεεῖν καὶ οἰκτείρειν. Χρυσόστομος. Οὐδὲν οὕτω σώζει τὸν ἄνθρωπον ἐκ θανάτου, ὡς ἡ μετάδοσις τῶν ἐπιδεομένων.

ΤΕΛΟΣ